26 τρὶ θεῷ. [26] Ἅγιος ὁ θεὸς ὁ πατὴρ τῶν ὅλων· ἅγιος ὁ θεὸς, οὗ ἡ βουλὴ τε-
λεῖται ἀπὸ τῶν ἰδίων δυνάμεων· ἅγιος ὁ θεὸς, ὃς γνωσθῆναι βούλεται, καὶ
γινώσκεται τοῖς ἰδίοις· ἅγιος εἶ ὁ λόγῳ συστησάμενος τὰ ὄντα· ἅγιος εἶ, οὗ
πᾶσα φύσις εἰκὼν ἔφυ· ἅγιος εἶ, ὃν ἡ φύσις οὐκ ἐμόρφωσεν· ἅγιος εἶ, ὁ πά-
σης δυνάμεως ἰσχυρότερος· ἅγιος εἶ, ὁ πάσης ὑπεροχῆς μείζων. ἅγιος εἶ,
ὁ κρείσσων τῶν ἐπαίνων. δέξαι λογικὰς θυσίας, ἁγνὰς ἀπὸ ψυχῆς καὶ
καρδίας πρὸς σὲ ἀνατεταμένας, ἀνεκλάλητε, ἄρρητε, σιωπῇ φω-
νούμενε. αἰτουμένῳ τὸ μὴ σφαλῆναι, τῆς γνώσεως τῆς κατ' οὐ-
σίαν ἡμῶν ἐπίνευσόν μοι, καὶ ἐνδυνάμωσόν με, καὶ τῆς χά-
ριτος ταύτης φώτισον τοὺς ἐν ἀγνοίᾳ τοῦ γένους μου ἀδελφούς,

filios vero tuos. Quamobrem credo, ac teſtor, in vitã & lucem transeo. Benedictus es Pater. Tuus homo tecũ ſanctus fieri cupit, perinde ac illi omnem poteſtatem conceſſiſti.

MERCVRII TRISMEGISTI AD ÆSCVLAPIVM SERMO VNIVERSALIS.

CAPVT SECVNDVM.

VEl Deus, vel Diuinitas, nunc aio eſſe non quid 1
factum, quinimo quid non factũ eſſe. Si quidem
ſit diuinitas, eſſentia præditum eſt. Si autẽ Deus,
non eſſentia præditum. Aliàs autẽ intellectui patens hac arte. Nã Deus primus eſt intellectui noſtro patens nõ ſibiipſi. Quod enim intellectu percipitur, intelligenti per ſenſum ſubiacet. Non itaq; deus a ſe intelligitur. nõ enim velut aliud quicquã ab intellecto exiſtens a ſeipſo intelligitur: ſed nobis aliud quid eſt: quapropter a nobis intelligitur.
[2] Quod ſi intellectui patefiat locus, nõ vt Deus * ſed tanquam 2
locus|. Si quidem veluti Deus, non vt locus, ſed velut efficacia capax. Omne autẽ motum non in mobili mouetur, ſed in ſtante: & mouẽs quieſcit. Nõ enim ſimul cum ipſo moueri poteſt. Quonam igitur pacto, o Triſmegiſte, quæ hic degunt, ſimul cum motis mouentur. Cum enim dixeris errãtes ſphæras moueri ab ſphæra aplana. Non eſt hic, o Æſculapi, motus, ſed motus contrarietas, cum non pariter, quinetiam oppoſite inter ſe moueantur. Oppoſitio nanq; obluctationẽ motus habet ſtabilem. Nã renitentia ſtatum præ ſe fert. [3] Errantes igitur ſphæræ 3
contrario aplanæ motę, abinuicem contrario occurſu circa repugnantiã ab ſtante mouentur, ac ſecus haberi nõ poteſt. Nã vrſas has, quas mergere nec conſpicis, nec emergere, attamen circa idem ſe circumuehẽtes, moueri exiſtimas, an quieſcere? Moueri, o Triſmegiſte. Quali motu o Æſculapi? eo quo circa idem voluuntur, latio autẽ circa idem, * & circa idem motio, a fixo cohibetur. Nã quod eſt circa, impedit quod vltra idẽ eſt. Impedito autem eo, quod vltra idem eſt, quieſcẽte in id quod circa idem eſt: haud ſecus oppoſita latio ſtabilis eſt, cum a re-

υἱοὺς δὲ σου. διὸ πιστεύω, καὶ μαρτυρῶ, εἰς ζωὴν καὶ φῶς χωρῶ· εὐλογητὸς εἶ πάτερ· ὁ σὸς ἄνθρωπος συναγιάζειν σοι βούλεται, καθὼς παρέδωκας αὐτῷ τὴν πᾶσαν ἐξουσίαν.

ΕΡΜΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ ΠΡΟΣ † ΑΣΚΛΗΠΙΟΝ ΛΟΓΟΣ ΚΑΘΟΛΙΚΟΣ. † ΤΑΤ

1 Ὁ Θεὸς, ἢ τὸ θεῖον· λέγω νῦν οὐ τὸ γεννητὸν ἀλλὰ τὸ ἀγέννητον. ἐὰν μὲν οὖν ᾖ θεῖον, οὐσιῶδές ἐστιν· ἐὰν δὲ ᾖ θεὸς, ἀνούσιον γίνεται. ἄλλως δὲ νοητὸς οὕτω. νοητὸς γὰρ πρῶτος ὁ θεός ἐστιν ἡμῖν, οὐχ ἑαυτῷ. τὸ γὰρ νοητὸν τῷ νοοῦντι αἰσθήσει ὑποπίπτει. ὁ θεὸς οὐκοῦν οὐχ ἑαυτῷ νοητός. οὐ γὰρ ἄλλό τι ὢν τοῦ νοουμένου, ὑφ' ἑαυτοῦ νοεῖται· ἡμῖν δὲ ἄλ-
2 λό τί ἐστι· διὰ τοῦτο ἡμῖν νοεῖται. [2] Εἰ δὲ νοητὸς ὁ τόπος, οὐχ ὁ θεὸς, ἀλλ' ὁ τόπος· εἰ δὲ καὶ ὡς θεὸς, οὐχ ὡς τόπος, ἀλλ' ὡς ἐνέργεια χωρητική. πᾶν δὲ τὸ κινούμενον οὐκ ἐν κινουμένῳ κινεῖται, ἀλλ' ἐν ἑστῶτι· καὶ τὸ κινοῦν δὲ ἕστηκεν. ἀδύνατον γὰρ αὐτῷ συγκινεῖσθαι. Πῶς οὖν ὦ τρισμέγιστε, τὰ ἐνθάδε συγκινεῖται τοῖς κινουμένοις. τὰς γὰρ σφαίρας ἔφης τὰς πλανωμένας κινεῖσθαι ὑπὸ τῆς ἀπλανοῦς σφαίρας. Οὐκ ἔστιν αὕτη, ὦ Ἀσκληπιὲ, κίνησις, ἀλλ' ἀντικίνησις. οὐ γὰρ ὁμοίως κινοῦνται, ἀλλ' ἐναντίαι ἀλλήλαις. ἡ δὲ ἐναντίωσις τὴν ἀντέρεισιν
3 τῆς κινήσεως ἔχει ἑστῶσαν. ἡ γὰρ ἀντιτυπία στάσεώς ἐστι φορά. [3] Αἱ οὖν πλανώμεναι σφαῖραι ἐναντίως κινούμεναι τῇ ἀπλανεῖ, ὑπ' ἀλλήλων τῇ ἐναντίᾳ ὑπαντίσει περὶ τὴν ἐναντιότητα αὐτὴν ὑπὸ τῆς ἑστώσης κινοῦνται· καὶ ἄλλως ἔχειν ἀδύνατον. τὰς γὰρ ἄρκτους ταύτας, ἃς ὁρᾷς μήτε δυνούσας, μήτε ἀνατελλούσας, περὶ δὲ τὸ αὐτὸ ἀντιστρεφομένας, ἢ οἴει κινεῖσθαι, ἢ ἑστάναι; Κινεῖσθαι, ὦ τρισμέγιστε. Κίνησιν ποίαν ὦ Ἀσκληπιέ. Τὴν περὶ αὐτὸ στρεφομένην· ἡ δὲ περιφορὰ τὸ αὐτὸ, καὶ ἡ περὶ αὐτὸ κίνησις ὑπὸ στάσεως κατεχομένη. τὸ γὰρ περὶ αὐτὸ κωλύει τὸ ὑπὲρ αὐτό. κωλυόμενον δὲ τὸ ὑπὲρ αὐτὸ, εἰ ἔστη εἰς τὸ περὶ αὐτὸ, οὕτω καὶ ἡ ἐναντία φορὰ ἔστη ἑδραία, ὑπὸ τῆς

pugnantia firmatur. [4] Exemplum autẽ tibi deſcribam oculis 4
obuium. Terrena animantia velut hominẽ dico ſpeculare natantem, ferente enim aqua renitentia pedũ & manuum fit homini ſtatus, ne ſimul cum aqua deffluat. Manifeſtiſſimum exẽplum dixiſti, o Triſmegiſte. Omnis proinde motus in ſtante & ab ſtãte mouetur. Motus itaq; animãtis & omnis viuentis materialis ab ijs quæ extra mundum ſunt fieri nõ contigit. quinimo ab intimis ad externa ſiue ab anima ſiue a ſpiritu aut ab alio quodã incorporeo. Corpus nãq; corpus animatum nõ mouet: ſed neq; in vniuerſum corpus licet inanimatũ. [5] Quonam 5
pacto id ais, o Triſmegiſte? Ligna lapides ac alia cuncta animata, num quæ mouent ea corpora ſunt? Neutiquã, o Æſculapi. Quid enim intra corpus eſt mouentis inanimatum? Nõ corpus illud eſt vtraque mouens, & quod baiulantis & quod rei latæ. Quocirca animatum eſt per ſeipſum: quãdoquidẽ mouet. Nũ ideo vides animã tum degrauari, cum vnica duo ferat corpora. Quod autẽ in quopiam moueantur quę mouentur, & a quodam perſpicuum eſt. [6] In vacuo ſcilicet, quę mouentur, moue- 6
ri decet, o Triſmegiſte. Recte dicis, o Æſculapi. Nihil etenim eorum, quæ ſunt, vacuum eſt. Solum autẽ quod non eſt, vacuũ eſt, & externum a ſubſtantia. Quod enim ſubſiſtit vacuum id nunquã fuiſſe poteſt. Non itaq; ſunt quædã vacua, o Triſmegiſte, qualia ſunt hęc vti cadus vacuus, * vrceus vacuus |, ac totus puteus ac alia cuncta ſimilia. Heu multo errore, o Æſculapi, Quæ pleniſſima & maxima ſunt illa vacua eſſe arbitraris. Quomodo dicis, o Triſmegiſte. Aer corpus eſt. Nunquid hoc corpus per omnia, quæ ſunt, permanat: & cuncta perluſtrans adimplet? Corpus autem eſt non ex corporib. cõſtitutum. Plena igitur ſunt aeris omnia, quę tu dicis vacua * ex quatuor corporib. cõflata. Et accidit vt oppoſitus eluceſcat ſermo: quæ videlicet tu dicis plena hæc omnia vacua ſunt aeris, propter alia corpora arctãtia, quæ aerem in eorum loco ſinere nõ poſſunt. Hæc igitur, quę tu dicis vacua |, caua nuncupare decet, non autem vacua. ſubſiſtũt enim ac aeris & ſpiritus plena ſunt. Sermo irreprehenſus, o Triſmegiſte. Aer corpus eſt: hoc autem corpus per omnia, quæ ſunt, diuagatur, & omnia peragrãs implet.

4 ἐναντιότητος στηριζομένη. 4 Παράδειγμα δέ σοι τοῖς ὀφθαλ-
μοῖς πίστον φράσω· τὰ ἐπίγεια ζῶα, οἷον, τὸν ἄνθρωπον λέ-
γω θεώρει νηχόμενον. φερομένου γὰρ τοῦ ὕδατος, ἡ ἀντιτυπία
τῶν ποδῶν, καὶ τῶν χειρῶν, στάσις γίνεται τῷ ἀνθρώπῳ, μὴ
συγκατενεχθῆναι τῷ ὕδατι. Σαφέστατον παράδειγμα εἶπες,
ὦ τρισμέγιστε. Πᾶσα οὖν κίνησις, ἐν στάσει, καὶ ὑπὸ στάσεως
κινεῖται. ἡ οὖν κίνησις τοῦ ζώου, καὶ παντὸς δὲ ζώου ὑλικοῦ, οὐχ
ὑπὸ τῶν κατεκτὸς τοῦ κόσμου συμβαίνει γίνεσθαι, ἀλλ᾽ ὑπὸ τῶν
ἐντὸς εἰς τὸ κατεκτὸς, ἤτοι ψυχῆς, ἢ πνεύματος, ἢ ἄλλου τινὸς ἀ-
σωμάτου. σῶμα γὰρ σῶμα ἔμψυχον οὐ κινεῖ· ἀλλ᾽ οὐδὲ τὸ σύνο-
5 λον σῶμα, κἂν ἄψυχον. 5 Πῶς τοῦτο λέγεις, ὦ τρισμέγιστε; Τὰ
οὖν ξύλα, καὶ τοὺς λίθους, καὶ τὰ ἄλλα πάντα ἔμψυχα, οὐ σώματά
ἐστι τὰ κινοῦντα; Οὐδαμῶς, ὦ Ἀσκληπιέ. τὸ γὰρ ἔνδον τοῦ σώμα-
τος, † τοῦ κινοῦντος τὸ ἄψυχον, οὐ σῶμα ἐκεῖνό ἐστι τὸ ἀμφότερα † τὸ κι-
κινοῦν, καὶ τὸ τοῦ βαστάζοντος, καὶ τὸ τοῦ βασταζομένου; διόπερ ἔμψυ- νοῦν
χον † τὸ καθεαυτόν, ἐπεὶ κινεῖ. ὁρᾷς οὖν καταβαρουμένην τὴν ψυ- † τὸ κα-
χὴν, ὅταν μόνη δύο σώματα φέρῃ; καὶ ὅτι μὲν ἔν τινι κινεῖται τὰ κι- θεῦδον,
6 νούμενα, καὶ ὑπό τινος, δῆλον. 6 Ἐν † κενῷ δὲ δεῖ κινεῖσθαι τὰ κι- † ἐκεί-
νούμενα, ὦ τρισμέγιστε. Εὖ φῂς, ὦ Ἀσκληπιέ. οὐδὲν δὲ τῶν ὄντων ἐστὶ νῳ
κενόν· μόνον δὲ τὸ μὴ ὂν, κενόν ἐστι, καὶ ξένον τῆς ὑπάρξεως. τὸ γὰρ
ὑπάρχον κενὸν, οὐδέ ποτε γενέσθαι δύναται. Οὐκ ἔστιν οὖν τινὰ, ὦ τρισ-
μέγιστε; Ἔστι τοιαῦτα οἷον κάδδος κενὸς, καὶ κέραμος κενὸς, καὶ
ποταμὸς ὅλος, καὶ τὰ ἄλλα πάντα τὰ παραπλήσια. Φεῦ τῆς
πολλῆς πλάνης, ὦ Ἀσκληπιὲ, τὰ μᾶλλον πληρέστατα, καὶ μέγι-
στα ὄντα ταῦτα ἡγῇ κενὰ εἶναι; Πῶς λέγεις, ὦ τρισμέγιστε. Σῶ-
μά ἐστιν ὁ ἀήρ· τοῦτο δὲ τὸ σῶμα οὐ διὰ πάντων διήκει τῶν ὄν-
των, καὶ πάντα διῆκον πληροῖ· σῶμα δὲ οὐκ ἐκ τῶν σωμάτων κε-
κραμένον. μεστὰ οὖν πάντα ἐστὶν, ἃ σὺ φῂς κενὰ, τοῦ ἀέρος, τῶν
τεσσάρων σωμάτων· καὶ συμβαίνει ὁ ἐναντίος λόγος ἐκφαίνε-
σθαι, ὅτι ἃ σὺ φῂς μεστὰ, ταῦτα πάντα κενά ἐστι τοῦ ἀέρος,
ὑπ᾽ ἄλλων σωμάτων στενοχωρουμένων, καὶ μὴ ἐχόντων δέ-
ξασθαι τὸν ἀέρα ἐν τόπῳ αὐτῶν. ταῦτα οὖν ἃ σὺ φῂς εἶναι κε-
νὰ, κοῖλα δεῖ ὀνομάζειν, οὐ κενά. ὑπάρχει γὰρ, καὶ μεστά ἐστιν
ἀέρος καὶ πνεύματος. Ἀναντίρρητος ὁ λόγος ὦ τρισμέγι-
στε, σῶμά ἐστιν ὁ ἀήρ. τοῦτο δὲ τὸ σῶμα, † ὃ διὰ πάντων διή- † οὐ
κει τῶν ὄντων, καὶ πάντα διῆκον πληροῖ.

[7] Locum igitur,in quo omne mouetur,quid dicemus?incorpo 7
reum o Æſculapi. Id igitur incorporeũ quid eſt? Mens, Ratio
vndiq; ſe circumplectens,omni corpore expedita, nõ errans,
nulli corporis moleſtię obnoxia,nec tractabilis,ipſa ſibi aſſidẽs
* capax omniũ|,ſeruans ea quę ſunt.Cuius radij ſunt bonũ,ve-
ritas,primaria lux,& exemplar animæ.Quid demũ erit Deus?
Quod nihil horũ extat: Cauſa tamen exiſtens qua hæc ſint,&
omnib.& in vnaquaq; parte ad ſingula omniũ eorũ, quæ ſunt:
nihil enim vltra reliquit,quod non ſit.Omnia nanq; ſunt ex ijs,
quæ ſunt facta:non autẽ ex ijs quæ non ſunt.Quæ etenim non
ſunt,naturã non habent, qua eſſe valeant.* quinimo qua quic-
quam fieri non poſſunt|.Et rurſus ea,quæ ſunt, naturã non ha-
bent,qua non aliquando ſint. [8] Quid igitur ais non exiſtãt ali- 8
quando. Deus itaq; non eſt mens, ſed cauſa, vt ea ſit,nec ſpiri-
tus,nec lux,cauſa autem qua lux exiſtat.Quocirca duab. his ap
pellationib.Deum venerari decet,quę ei ſoli congruunt,nulli-
quidẽ alteri.Neq; enim reliquorum,qui Dij dicuntur,neq; ho
minum, neq; Dæmonum,quis poteſt,licet iuxta minimã par-
tem,bonus eſſe pręter vnicum Deum:qui quidẽ hoc vnum eſt
ac nihil inſuper.Reliqua autẽ omnia diuulſa ſunt a Boni natura.
Nã ſunt corpus & anima loco carentia,quo poſſint Bonum ca
pere.Tanta equidem eſt Boni amplitudo,quanta eſt ſubſtantia
eorum omnium,quę ſunt, ſiue corporũ aut incorporeorum,&
eorum quę ſentiri ac intelligi poſſunt.Hoc eſt Deus.Ne igitur
quid aliud Bonũ dixeris.Quandoquidẽ impium eſt.Nec aliud
Deum pręter ſolum Bonum.nã rurſus impium. [9] Verbo quidẽ 9
ab omnib.Bonum dicitur:non autẽ ab omnib.quid ſit,percipi-
tur.Quapropter neq; Deus a cunctis intelligitur.Quinetiam
per ignorantiã & Deos & aliquos hominũ bonos nuncupant,
qui nullo tẽpore eſſe neq; fieri potuerunt *. Remotiſſimũ ete-
nim a Deo eſt,Tanquam,& indiſſolubile ipſe Deus exiſtens|.
Cæteri igitur omnes Dij immortales honorãtur Dei denomi-
natione:Deus autẽ Bonum eſt,non ad honorem, ſed iuxta na-
turam.Vna nãq; eſt Dei natura: nempe Bonum. Et amborum
vnum genus,ex quo cuncta genera.Bonus etenim omnia dat,
& nihil ſuſcipit. Deus itaq; omnia dat,& nihil accipit. Quare

τὸν οὖν τόπον τὸν ἐν ᾧ πᾶν κινεῖται τί εἴπωμεν; Ἀσώματον, ὦ Ἀσκληπιέ. Τὸ οὖν ἀσώματον τί ἐστι, Νοῦς, λόγος, ἐξ ὅλου ἑαυτὸν ἐμπεριέχων ἐλεύθερον σώματος παντός· ἀπλανὴς, ἀπαθὴς σώματι, καὶ ἀναφὴς, αὐτὸς ἑαυτῷ ἑστὼς, χωρητικὸς τῶν πάντων, καὶ σωτήριος τῶν ὄντων, οὗπερ ἀκτῖνές εἰσι, τὸ ἀγαθὸν, ἡ ἀλήθεια, τὸ ἀρχέτυπον φῶς, τὸ ἀρχέτυπον ψυχῆς. ὁ οὖν θεός ἐστιν, ὁ μηδὲ ἓν τούτων ὑπάρχων, ὢν δὲ καὶ τοῦ εἶναι τούτων αἴτιος, καὶ πᾶσι καὶ ἐπὶ ἑκάστῳ μέρει ἐφ' ἕκαστον τούτων τῶν ὄντων πάντων. οὐδὲ γὰρ οὐδὲν ὑπέλιπε πλέον τὸ μὴ ὄν· πάντα δέ ἐστι τὰ ἐκ τῶν ὄντων γινόμενα, οὐχὶ μὴ ἐκ τῶν μὴ ὄντων. τὰ γὰρ μὴ ὄντα, οὐ φύσιν ἔχει τοῦ δύνασθαι γενέσθαι· ἀλλὰ τοῦ μὴ δύνασθαί τι τὸ γενέσθαι. καὶ πάλιν τὰ ὄντα, οὐ φύσιν ἔχει
8 τοῦ μηδέποτ' εἶναι. [8] Τί οὖν φὴς τοῦ μὴ εἶναί ποτε; ὁ οὖν θεὸς οὐ νοῦς ἐστὶν, αἴτιος δὲ τοῦ εἶναι· οὐδὲ πνεῦμα, οὐδὲ φῶς, αἴτιος δὲ τοῦ φῶς εἶναι· ὅθεν τὸν θεὸν δυσὶ ταύταις ταῖς προσηγορίαις σέβεσθαι δεῖ, ταῖς μόνῳ αὐτῷ προσῳκειωμέναις, καὶ ἄλλῳ οὐδενί. οὔτε γὰρ τῶν ἄλλων λεγομένων θεῶν, οὔτε ἀνθρώπων, οὔτε δαιμόνων τις δύναται, κἂν καταποσονοῦν ἀγαθὸς εἶναι, ἢ μόνος ὁ θεὸς, καὶ τοῦτό ἐστι μόνον, καὶ οὐδὲν ἄλλο· τὰ δὲ ἄλλα πάντα, χωρητά ἐστι τῆς τοῦ ἀγαθοῦ φύσεως. σῶμα γάρ ἐστι καὶ ψυχὴ, τόπον οὐκ ἔχοντα χωρῆσαι δυνάμενον τὸ ἀγαθόν. τοσοῦτον γάρ ἐστι τοῦ ἀγαθοῦ τὸ μέγεθος, ὅσον ἐστὶν ὕπαρξις πάντων τῶν ὄντων, καὶ σωμάτων καὶ ἀσωμάτων, καὶ αἰσθητῶν καὶ νοητῶν· τοῦτό ἐστιν ὁ θεός. μὴ οὖν εἴπῃς ἄλλοτι ἀγαθὸν, ἐπεὶ ἀσεβεῖς, ἢ ἄλλοτι ποτὲ τὸν θεὸν, ἢ μόνον τὸ ἀγαθὸν,
9 ἐπεὶ πάλιν ἀσεβεῖς. [9] Λόγῳ μὲν οὖν ὑπὸ πάντων λέγεται τὸ ἀγαθὸν, οὐ νοεῖται δὲ τί ποτέ ἐστιν ὑπὸ πάντων. διὰ τοῦτο οὐδὲ θεὸς νοεῖται ὑπὸ πάντων, ἀλλ' ἀγνοίᾳ καὶ τοὺς θεοὺς, καί τινας τῶν ἀνθρώπων, ἀγαθοὺς ὀνομάζουσι, μηδέποτε δυναμένους μήτε εἶναι, μήτε γενέσθαι ἄν. ἀλλοτριώτατον γάρ ἐστι τοῦ θεοῦ, ὡς καὶ ἀχώρισον, αὐτὸς ὁ θεὸς ὤν. θεοὶ μὲν οὖν οἱ ἄλλοι πάντες ἀθάνατοι τετιμημένοι τῇ τοῦ θεοῦ προσηγορίᾳ· ὁ δὲ θεὸς τὸ ἀγαθὸν, οὐ κατὰ τιμὴν, ἀλλὰ κατὰ φύσιν. μία γὰρ ἡ φύσις τοῦ θεοῦ τὸ ἀγαθὸν, καὶ ἓν γένος ἀμφοτέρων, ἐξ οὗ τὰ γένη πάντα. ὁ γὰρ ἀγαθὸς ἅπαντά ἐστι διδοὺς, καὶ μηδὲν λαμβάνων. ὁ οὖν θεὸς πάντα δίδωσι καὶ οὐδὲν λαμβάνει.

Deus Bonum,& Bonum Deus eſt.[10] Altera autẽ eſt denomi- 10
natio Patris . eo rurſum quod omnia efficit. patris nanq; eſt fa-
cere. Maximũ itaq; in vita ſtudium, ac bene ſapientib.religio-
ſiſſimum,eſt liberorum genitura.Maximum autem infortuniũ
ac impietas eſt aliquem ſine liberis ex hominibus migrare. Et
pœnas dat iſte poſt mortem Dæmonibus. Huiuſmodi autem
vindicta eſt.Animam huius ſterilis in corpus damnari, neq; vi-
ri nec fœminæ naturam habens, quod maledictum eſt a ſole.
Quapropter o Æſculapi nemini ſterili exiſtenti conſedeas.
Quinimo ecõtra calamitatis eius miſerere,ſciens quale ipſum
pręſtoletur ſupplicium.Tanta & talia tibi dicta ſunto,o Æſcu-
lapi,vt præſagium quoddam naturæ rerum omnium.

MERCVRII TRISMEGISTI
SERMO SACER,
CAPVT TERTIVM.

RErum omnium gloria Deus eſt, Diuinitas, 1
ac Diuina natura :Origo autem eorum quæ
ſunt,Deus,Mẽs,Natura, * Materia,Sapiẽ-
tia in argumentum omnium eorũ quæ ſunt.
primordium illud eſt Diuinitas, Natura |,
efficacia,neceſſitas,finis,& inſtauratio. Erãt
autem in abyſſo,tenebræ interminatæ, & a-
qua,ac ſubtilis ſpiritus intelligens Diuina potentia exiſtentia
in Chao.Emiſſum eſt autem lumen ſanctum, & concreta ſunt
ſub arena ex humida eſſentia elementa. Et Dij omnes diſtri-
buunt naturã inſeminandi. [2] Cum autem indiuiſa & incondita 2
eſſent omnia:ſegregata ſunt leuia ſurſum,grauia vero ſub arena
humida fundata ſunt,omnib. igne diſcretis, ac appenſis,vt ſpi-
ritu attollãtur.Et apparuit cœlum in ſeptem circulis, ac Dij in
figuris ſiderum apparentes, vna cum eorum ſignis omnibus,
& diſtincti ſunt cum ijs qui in ipſis ſunt Dijs, & terminatur
circularis cõuerſio aere,circulari curſu & ſpiritu Diuino vecta.
[3] Prodidit autem vnuſquiſque Deus particulari virtute quod 3
ſibi iuſſum fuerat. Tum natæ ſunt feræ, quadrupedia, reptilia,

10 ὁ οὖν θεὸς ἀγαθὸν, καὶ τὸ ἀγαθὸν ὁ θεός. [10] Ἡ δὲ ἑτέρα προσηγο-
ρία ἐστὶν ἡ τοῦ πατρός· πάλιν διὰ τὸ ποιητικὸν πάντων. πατρὸς γὰρ
τὸ ποιεῖν· διὸ καὶ μεγίστη ἐν τῷ βίῳ σπουδὴ, καὶ εὐσεβεστάτη τοῖς
εὖ φρονοῦσίν ἐστιν ἡ παιδοποιΐα· καὶ μέγιστον ἀτύχημα, καὶ ἀσέβημά
ἐστιν, ἄτεκνόν τινα ἐξ ἀνθρώπων ἀπαλλαγῆναι· καὶ δίκην οὗτος
δίδωσι μετὰ θάνατον τοῖς δαίμοσιν. ἡ δὲ τιμωρία ἐστὶν ἥδε· τὴν
τοῦ ἀτέκνου ψυχὴν εἰς σῶμα καταδικασθῆναι, μήτε ἀνδρὸς, μή-
τε γυναικὸς φύσιν ἔχον, ὅπερ ἐστὶ κατηραμένον ὑπὸ τοῦ ἡλίου. τοι-
γαροῦν, ὦ Ἀσκληπιὲ, μηδενὶ ὄντι ἀτέκνῳ συνηθῇς· τοὐναντίον δὲ
ἐλέησον τὴν συμφορὰν, ἐπιστάμενος οἵα αὐτὸν μένει τιμωρία. το-
σαῦτά σοι καὶ τοιαῦτα λελέχθω, ὦ Ἀσκληπιὲ, προγνωσία τις τῆς
πάντων φύσεως.

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕ-
ΓΙΣΤΟΥ ΛΟΓΟΣ
ΙΕΡΟΣ.

1 ΔΟΞΑ πάντων ὁ θεὸς, καὶ θεῖον, καὶ φύ-
σις θεία· καὶ ἀρχὴ τῶν ὄντων ὁ θεὸς, καὶ
νοῦς, καὶ φύσις, καὶ ὕλη, σοφία εἰς δεῖξιν
ἁπάντων ὤν· ἀρχὴ τὸ θεῖον καὶ ἡ φύσις, καὶ
ἐνέργεια, καὶ ἀνάγκη, καὶ τέλος, καὶ ἀνα-
νέωσις. ἦν γὰρ σκότος ἄπειρον ἐν ἀβύσσῳ,
καὶ ὕδωρ, καὶ πνεῦμα λεπτὸν, νοερὸν, δυνάμει
θείᾳ ὄντα ἐν χάει. ἀνείθη δὴ φῶς ἅγιον, καὶ
ἐπάγη ὑπ' ἄμμῳ ἐξ ὑγρᾶς οὐσίας στοιχεῖα, καὶ θεοὶ πάντες καταδιαι-
2 ροῦσι φύσεως ἐνσπόρου. [2] Ἀδιορίστων δὲ ὄντων ἁπάντων, καὶ ἀκατα-
σκευάστων, ἀποδιωρίσθη τὰ ἐλαφρὰ εἰς ὕψος, καὶ τὰ βαρέα ἐθεμελιώ-
θη ὑφ' ὑγρᾷ ἄμμῳ, πυρὶ τῶν ὅλων διορισθέντων, καὶ ἀνακρεμασθέντων,
πνεύματι ὀχεῖσθαι· καὶ ὤφθη ὁ οὐρανὸς ἐν κύκλοις ἑπτὰ, καὶ θεοὶ
ταῖς ἐν ἄστρων ἰδέαις ὀπτανόμενοι, σὺν τοῖς αὐτῶν σημείοις ἅπα-
σι· καὶ διηρθρώθη σὺν τοῖς ἐν † αὐτοῖς θεοῖς· καὶ περιελίγη τὸ † αὐτῇ
περικύκλιον ἀέρι, κυκλίῳ δρομήματι, πνεύματι θείῳ ὀχού-
3 μενον. [3] Ἀνῆκε δὲ ἕκαστος θεὸς διὰ τῆς ἰδίας δυνάμεως τὸ
προσταχθὲν αὐτῷ· καὶ ἐγένετο θηρία, τετράποδα, καὶ ἑρπετὰ,

aquatica,& volatilia,& omne ſemen inſeminãs,fœnum,& floris omnis herba, ſemen regenerandi in ſeipſis ſeminabant. Ac hominum genituras, in Diuinorum operum agnitionẽ,ac naturę teſtimonium efficax,& hominum frequentiam,in omniũ eorum quæ ſub cœlo ſunt dominium, & bonorum indicium. Vt creſcerent augmento, & fræquentia multiplicarentur, & omnem animam in carne, per curriculi deorum circularium monſtroſa ſemina,in ſpeculationem cœli,& Deorum celeſtiũ curſus,ac Diuinorũ operum, & efficaciæ Naturæ, in ſigna bonorum,in agnitionem virtutis Diuinę,partiũ orbis,noticiã bonorum & peruerſorum,ac omne bonorũ ſolers opificium aſſequendum. [4] Tendit vixiſſe, & ſapientiam coluiſſe ipſorum,ad 4
portionem curſus Deorum circularium, reſolui vero, in id redit per quod erant ampla monumẽta artificiorum in terra deſerentes pro nomine,temporum extinctionem. Et omnis genitura animatæ carnis, & fructus ſationis,ac omnis artificij diminutiones,inſtaurabuntur neceſſitate & Deorum renouatione,& curſu naturæ circuli numeris præditi. Diuinitas nanque eſt vniuerſa mundana conſtitutio,natura conſiderata.In Diuinitate etenim etiam Natura collocatur.

MERCVRII TRISMEGISTI AD FILIVM SVVM TAT SERMO QVI CRATER AVT VNITAS,

CAPVT QVARTVM.

1 QVandoquidem vniuerſum mundum conſtruxit opifex non manibus ſed verbo:ſic præ te fer,tanquã adſit,ac ſemper exiſtat, omnia faciens,vnus ſolus:proprio autem arbitrio ea quæ ſunt operatus eſt.Hoc eſt enim corpus eius nõ tractabile, nec viſui aut menſuræ obnoxiũ,indiuiſum, nec alij cuiquam ſimile. Neque enim eſt ignis,non aqua, non aer,non ſpiritus:quinimo omnia quę ab ipſo ſunt,bonus exiſtens.vnico namque huic id aſcribit. [2] Voluit inſuper terram ornare.orna- 2

καὶ ἔνυδρα, καὶ πτηνά, καὶ πᾶσα σπορὰ ἔνσπορος, καὶ χόρτος, καὶ ἄν-
θους παντὸς χλόη, τὸ σπέρμα τῆς παλιγγενεσίας ἐν αὐτοῖς ἐσ-
περμολόγουν· τάς τε γενέσεις τῶν ἀνθρώπων εἰς ἔργων θείων
γνῶσιν καὶ φύσεως ἐνεργοῦσαν μαρτυρίαν, καὶ πλῆθος ἀνθρώ-
πων, † εἰς πάντων τῶν ὑπ᾽ οὐρανὸν δεσποτείαν, καὶ ἀγαθῶν † καὶ
ἐπίγνωσιν, εἰς τὸ αὐξάνεσθαι ἐν αὐξήσει, καὶ πληθύνεσθαι ἐν
πλήθει· καὶ πᾶσαν ἐν σαρκὶ ψυχὴν διὰ δρομήματος θεῶν ἐγ-
κυκλίων τερατοπορίας, εἰς κατοπτίαν οὐρανοῦ, καὶ δρομήματος οὐ-
ρανίων θεῶν, καὶ ἔργων θείων, καὶ φύσεως ἐνεργείας. εἴς τε σημεῖα
ἀγαθῶν, εἰς γνῶσιν θείας δυνάμεως, μοίρας † οἰκουμένης γνῶ- † ὀχλου-
ναι ἀγαθῶν καὶ φαύλων, καὶ πᾶσαν ἀγαθῶν δαιδαλουργίαν εὑ- μένης
4 ρεῖν. [4] † Ἔρχεται αὐτῶν βιῶσαί τε καὶ σοφισθῆναι, πρὸς μοῖραν † Ἄρχε-
δρομήματος κυκλίων θεῶν, καὶ ἀναλυθῆναι εἰς ὃ ἔσονται μεγά- ται
λα ὑπομνημονεύματα τεχνουργημάτων ἐπὶ τῆς γῆς, καταλι-
πόντες ἐν ὀνόματι χρόνων ἀμαύρωσιν. καὶ † πᾶσα γένεσις ἐμψύ- † πᾶ-
χου σαρκός, καὶ καρποῦ σπορᾶς, καὶ πάσης τεχνουργίας τὰ ἐλατ- σαν γέ-
τούμενα ἀνανεωθήσεται, ἀνάγκῃ καὶ ἀνανεώσει θεῶν, καὶ φύσεως νεσιν
κύκλου ἐναριθμίου δρομήματι. τὸ γὰρ θεῖον ἡ πᾶσα κοσμικὴ σύγ-
κρασις φύσει ἀναθεωρουμένη. ἐν γὰρ τῷ θείῳ καὶ ἡ φύσις συγκα-
θέστηκεν.

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ ΠΡΟΣ ΤΟΝ ΕΑΥΤΟΥ ΥΙΟΝ ΤΑΤ, ΛΟΓΟΣ Ο ΚΡΑΤΗΡ, Η ΜΟΝΑΣ.

1 ΕΠΕΙΔΗ τὸν πάντα κόσμον ἐποίησεν ὁ δημιουρ-
γός, οὐ χερσίν, ἀλλὰ λόγῳ, ὥστε οὕτως ὑπολάμβα-
νε, ὡς τοῦ παρόντος, καὶ ἀεὶ ὄντος, καὶ πάντα ποιήσαν-
τος καὶ ἑνὸς μόνου· τῇ δὲ αὐτοῦ θελήσει δημιουργή-
σαντος τὰ ὄντα. τοῦτο γάρ ἐστι τὸ σῶμα ἐκείνου, οὐχ
ἁπτόν, οὐδὲ ὁρατόν, οὐδὲ μετρητόν, οὐδὲ διαστατόν,
οὐδὲ ἄλλῳ τινὶ ὅμοιον. οὔτε γὰρ πῦρ ἐστιν, οὔτε ὕδωρ,
οὔτε ἀήρ, οὔτε πνεῦμα. ἀλλὰ πάντα τὰ ὑπ᾽ αὐτοῦ, ἀγαθὸς ὤν. μό-
2 νῳ γὰρ τούτῳ ἀνατέθεικεν. [2] Ἠθέλησε καὶ τὴν γῆν κοσμῆσαι·

mentum autem diuini corporis demisit hominẽ, viuentis immortalis, animal mortale: & mundus quidem animalium præualebat animali, & mundi rationi ac menti. spectator namq; factus est operum Dei homo, & admiratus est, ac factorẽ agnouit. [3] Itaq; rationẽ quidem, o Tat, in omnes homines dispersit, 3
mentem autẽ non ita, non quibusdã inuidens. Inuidia etenim non inde oritur, sed deorsum residet in animis hominum mẽtem non habentium. Cur itaque, o pater, mentem Deus non omnib. distribuit? Voluit, o fili, hanc in medio animarum velut certaminis mercedẽ manere. Et vbinam eã collocauit? [4] Craterem quidẽ hac implens misit, dato præcone, ac ipsi præcepit 4
hæc hominũ cordib. nunciare. Teipsum in hunc craterẽ, quod potes, immerge, quodq; credis te redierũ ad eum, qui craterẽ demisit, quodq; prænoscis ad quid natus es. Qui igitur præconium intellexerunt, & mente abluti sunt, hi cognitionis participes fuere, & perfecti homines effecti sunt, mentem consequuti. Qui vero aberrarunt a præconio, ipsi rationem quidem, mentem autem non assequuti sunt, ignorantes ad quid & ex quib. geniti sint. [5] Sensus autẽ horum, irrationabilium animantium sensib. pares sunt, in animi confidentia ac ira temperamẽtum habentes, admiratione digna nec admirantes, quinetiam corporum voluptatib. ac cupidinib. adhærentes, ac eapropter hominẽ natum esse credentes. Quotquot autẽ eius doni, quod a Deo missum est, participes fuere, isti, ô Tat, iuxta collationẽ operum, immortales loco mortaliũ existunt, omnia sua mente circumplexi, quæ in terra, quæ in cœlo, ac si quid supra cœlum existat. hactenus seipsi exaltantes viderunt Bonũ, ac videntes, calamitatem duxerunt huius loci cõmercium, nihilifactis omnib. corporeis & incorporeis, ad vnum & solũ festinant. [6] Ipsa, 6
o Tat, mentis est scientia, Diuinorum speculatio, ac Dei cognitio, Diuinus crater existẽs. Et ego mergi volo o Pater. Si tuum corpus non primitus oderis, o fili, teipsum amare non potes: teipsum autẽ amans, mentem consequeris: mentẽ vero habens scientiæ particeps eris. Quonã pacto hæc ais, o Pater? Vltra facultatẽ est, o fili, circa vtraq; agere, mortalia nimirum & Diuina. Quum autem duo sint, eorum quæ sunt, corpus & incorpo-

κόσμον δὲ θείου σώματος κατέπεμψε τὸν ἄνθρωπον, ζῶου ἀθα-
νάτου ζῶον θνητόν. καὶ ὁ μὲν κόσμος τῶν ζώων ἐπλεονέκτει τοῦ
ζώου, καὶ τοῦ κόσμου τὸν λόγον καὶ τὸν νοῦν. θεατὴς γὰρ ἐγένετο τῶν
ἔργων τοῦ θεοῦ ὁ ἄνθρωπος, καὶ ἐθαύμασε, καὶ ἐγνώρισε τὸν ποιή-
3 σαντα. [3] Τὸν μὲν οὖν λόγον, ὦ Τάτ, ἐν πᾶσι τοῖς ἀνθρώποις
ἐμέρισε· τὸν δὲ νοῦν, οὐκέτι, οὐ φθονῶν τισίν· ὁ γὰρ φθόνος οὐκ ἔν-
θεν † ἔρχεται· κάτω δὲ συνίσταται ταῖς τῶν νοῦν μὴ ἐχόντων † ἄρχεται
ἀνθρώπων ψυχαῖς. Διὰ τί οὖν ὦ πάτερ, οὐ πᾶσιν ἐμέρισε τὸν
νοῦν ὁ θεός. Ἠθέλησεν ὦ τέκνον, τοῦτον ἐν μέσῳ ταῖς ψυχαῖς
4 ὥσπερ ἆθλον ἱδρῦσθαι. Καὶ ποῦ αὐτὸν ἱδρύσατο. [4] Κρατῆρα μὲν
γὰρ πληρώσας τούτου, κατέπεμψε διὰ κήρυκα, καὶ ἐκέλευσεν
αὐτῷ κηρύξαι ταῖς τῶν ἀνθρώπων καρδίαις τάδε· βάπτισον
σεαυτὴν ἡ δυναμένη εἰς τοῦτον τὸν κρατῆρα, ἡ πιστεύουσα ὅτι ἀνε-
λεύσῃ πρὸς τὸν καταπέμψαντα τὸν κρατῆρα, ἡ γνωρίζουσα ἐπὶ
τί γέγονας. ὅσοι μὲν οὖν συνῆκαν τοῦ κηρύγματος, καὶ ἐβαπτίσαν-
το τοῦ νοός, οὗτοι μετέσχον τῆς γνώσεως, καὶ τέλειοι ἐγένοντο ἄνθρω-
ποι, τὸν νοῦν δεξάμενοι· ὅσοι δὲ ἥμαρτον τοῦ κηρύγματος, αὗτοι
μὲν † τὸν λόγον, τὸν δὲ νοῦν μὴ προσειληφότες, ἀγνοοῦντες ἐπὶ † οἱ λογικὸν
5 τί γεγόνασι, καὶ ὑπὸ τίνων. [5] Αἱ δὲ αἰσθήσεις τούτων ταῖς τῶν
ἀλόγων ζώων παραπλήσιαι, καὶ ἐν θυμῷ καὶ ἐν ὀργῇ τὴν κρᾶ-
σιν ἔχοντες, οὐ θαυμάζοντες οὐ τὰ θέας ἄξια· ταῖς δὲ τῶν σωμά-
των ἡδοναῖς καὶ ὀρέξεσι προσέχοντες, καὶ διὰ ταῦτα τὸν ἄνθρω-
πον γεγονέναι πιστεύοντες. ὅσοι δὲ τῆς ἀπὸ τοῦ θεοῦ δωρεᾶς μετέ-
σχον, οὗτοι ὦ Τάτ, κατὰ σύγκρισιν τῶν ἔργων, ἀθάνατοι ἀντὶ θνη-
τῶν εἰσὶ, πάντα ἐμπεριλαβόντες τῷ ἑαυτῶν νοΐ τὰ ἐπὶ τῆς γῆς,
τὰ ἐν οὐρανῷ, καὶ εἴ τι ἐστὶν ὑπὲρ οὐρανόν. τοσοῦτον ἑαυτοὺς ὑψώ-
σαντες εἶδον τὸ ἀγαθὸν, καὶ ἰδόντες συμφορὰν ἡγήσαντο τὴν ἐν-
θάδε διατριβὴν, καταφρονήσαντες πάντων τῶν σωματικῶν καὶ
5 ἀσωμάτων ἐπὶ τὸ ἓν καὶ μόνον σπεύδουσιν. [6] Αὕτη, ὦ Τάτ, ἡ
τοῦ νοῦ ἐστὶν ἐπιστήμη, τῶν θείων ἐντορία, καὶ ἡ τοῦ θεοῦ κατανόησις,
θείου ὄντος τοῦ κρατῆρος. Κἀγὼ βαπτισθῆναι βούλομαι, ὦ πάτερ.
Ἐὰν μὴ πρῶτον τὸ σῶμά σου μισήσῃς, ὦ τέκνον, σεαυτὸν φιλῆσαι οὐ
δύνασαι· φιλήσας δὲ σεαυτὸν, νοῦν ἕξεις, καὶ τὸν νοῦν ἔχων, καὶ
τῆς ἐπιστήμης μεταλήψῃ. Πῶς ταῦτα λέγεις ὦ πάτερ. Ἀδύ-
νατον γάρ ἐστιν ὦ τέκνον, περὶ ἀμφότερα γίνεσθαι, τὰ θνητὰ
δηλαδὴ καὶ τὰ θεῖα. δύο γὰρ ὄντων τῶν ὄντων, σώματος καὶ ἀσω-

reum,in quib.mortale & Diuinum,alterius electio,relinquitur eligere voléti. Non enim decet vtraq; eligere,in quib.electio relinquitur. Alterum nãq; paruifactum alterius elucidat efficaciam. [7] Præstãtioris quidem efficaciȩ delectus,non tantũ eli- 7
genti fit pulcherrimus,hominem in Deum referens: quinimo in Deum pietatem probat. Vilioris autẽ optio,hominem quidem abrogat:nihil autem in Deum iniuriæ cõmisit,prȩter hoc solum. Quod veluti pompæ mediũ prætereuntes,nec ipsæ cuiusquam effectus potentes,alios vero præpedientes:hoc eodẽ modo isti tantum pomparũ instar gradiuntur in hoc mũdo,ob corporeas cupiditates. [8] His ita se habentibus, o Tat, aliqua 8
quidem a Deo nobis suppeditantur, ac suppeditabuntur: aliqua vero nos consequantur, * ne tamen moram afferant |. Quandoquidẽ Deus culpa vacat: nos autem causa malorũ sumus,ea bonis anteponẽtes. Vides, o fili,quot corpora nos decet traijcere, & quot Dæmonum choros ac continuitatem & stellarum cursus, vt ad vnũ & solum Deum properemus.nam peruium moleste tamen Bonum est,& interminatum & infinitum,sibi autem sine initio, nobis vero principiũ habere cognitionem apparet. [9] Non itaq; principiũ est ipsi cognitio: quin- 9
imo principium eius cognoscendi nobis exhibet. Principium igitur id assequamur, & mature peragremus omnia. vltra modum enim asperum est, assuetis & præsentib.relictis, ad vetera & priora repedare. Quæ quidẽ apparent,oblectant. Quȩ vero non videntur,incredulos faciunt. Quæ plus apparent,mala sunt.Bonum autem apparentib.non apparet. non enim forma aut figura est ipsi. Quapropter sibi quidẽ simile est, alijs vero omnib. dissimile. Non enim potest incorporeum corpori apparere. Ea est distãtia similis ad dissimile,ac dissimilis defectio ad simile. [10] Nã vnitas omnium initium existit & radix,* & ini- 10
tium existit |, absq; autem initio nihil,* principium vero ex nihilo aut ex se. Quandoquidẽ aliorum est inchoatio,ipsa quidẽ est, non enim ex alio principio esse contigit | vnitas itaq; initium est,& omnem cõprehendit numerum, a nullo cõprehensa,& omnem numerum generat, ab alio nullo genita numero.
[11] Omne autem genitum,imperfectum est,ac diuiduum,& in- 11

μάτου, ἐν οἷς τὸ θνητὸν καὶ τὸ θεῖον, ἡ αἵρεσις θατέρου καταλεί-
πεται τῷ ἑλέσθαι βουλομένῳ. οὐ γάρ ἐστιν ἀμφότερα ἐν οἷς τε ἡ ἐξαί-
ρεσις καταλείπεται. τὸ δὲ ἕτερον ἐλαττωθὲν τὴν τοῦ ἑτέρου
7 ἐφανέρωσεν ἐνέργειαν. [7] Ἡ μὲν οὖν ἐνέργεια τοῦ κρείττονος αἵρε-
σις, οὐ μόνον τῷ ἑλομένῳ καλλίστη τυγχάνει, τὸν ἄνθρωπον ἀπο-
θεῶσαι, ἀλλὰ καὶ τὴν πρὸς θεὸν εὐσέβειαν ἐπιδείκνυσιν· ἡ δὲ
τοῦ ἐλάττονος, τὸν μὲν ἄνθρωπον ἀπώλεσεν· οὐδὲν δὲ εἰς τὸν
θεὸν ἐπλημμέλησεν, ἢ τοῦτο μόνον, ὅτι καθάπερ αἱ πομπαὶ
μέσον παρέρχονται, μήτε αὐταὶ ἐνεργῆσαί τι δυνάμεναι, τοὺς δὲ
ἐμποδίζουσαι· τὸν αὐτὸν τρόπον καὶ οὗτοι μόνον πομπεύουσιν
ἐν τῷ κόσμῳ παραγενόμενοι ὑπὸ τῶν σωματικῶν ἡδονῶν.
8 [8] Τούτων δὲ οὕτως ἐχόντων, ὦ Τάτ, τὰ μὲν παρὰ τοῦ θεοῦ ἡ-
μῖν τε ὑπῆρξε καὶ ὑπάρξει· τὰ δὲ, ἀφ' ἡμῶν ἀκολουθησάτω,
καὶ μὴ ὑστερησάτω· ἐπεὶ ὁ μὲν θεὸς ἀναίτιος. ἡμεῖς δὲ αἴτιοι τῶν
κακῶν, ταῦτα προκρίνοντες τῶν ἀγαθῶν· ὁρᾷς, ὦ τέκνον, πόσα
ἡμᾶς δεῖ σώματα διεξελθεῖν, καὶ πόσους χοροὺς δαιμόνων,
καὶ συνέχειαν, καὶ δρόμους ἀστέρων, ἵνα πρὸς τὸν ἕνα καὶ μόνον
θεὸν σπεύσωμεν. διαβατὸν γὰρ τὸ ἀγαθὸν καὶ ἀπέραντον, καὶ
ἀτελὲς, αὐτῷ δὲ καὶ ἄναρχον· ἡμῖν δὲ δοκοῦν ἀρχὴν ἔχειν τὴν
9 γνῶσιν. [9] Οὐκ αὐτῷ οὖν ἀρχὴ γίνεται ἡ γνῶσις, ἀλλ' ἡμῖν
τὴν ἀρχὴν παρέχεται τοῦ γνωσθησομένου. λαβώμεθα οὖν τῆς
ἀρχῆς, καὶ ὁδεύσωμεν τάχει ἅπαντα. πάνυ γάρ ἐστι † σκλη- † σκο-
ρὸν τὸ, τὰ συνήθη καὶ παρόντα καταλιπόντα, ἐπὶ τὰ παλαιὰ λιὸν
καὶ ἀρχαῖα ἀνακάμπτειν. τὰ μὲν γὰρ φαινόμενα τέρπει· τὰ δὲ
ἀφανῆ δυσπιστεῖν ποιεῖ. φανερώτερα δέ ἐστι τὰ κακά· τὸ
δὲ ἀγαθὸν ἀφανὲς τοῖς φανεροῖς. οὐ γὰρ μορφὴ, οὔτε τύπος
ἐστὶν αὐτῷ. διὰ τοῦτο, αὐτῷ μέν ἐστιν ὅμοιον, τοῖς δὲ ἄλλοις
πᾶσιν ἀνόμοιον. ἀδύνατον γὰρ ἀσώματον σώματι φανῆναι. αὕτη
διαφορὰ τοῦ ὁμοίου πρὸς τὸ ἀνόμοιον, καὶ τῷ ἀνομοίῳ ὑστέ-
10 ρημα πρὸς τὸ ὅμοιον. [10] Ἡ γὰρ μονὰς πάντων οὖσα ἀρχὴ
καὶ ῥίζα, καὶ ἀρχὴ οὖσα· ἄνευ δὲ ἀρχῆς οὐδὲν, ἀρχὴ δὲ ἐξ οὐ-
δενὸς ἢ ἐξ αὑτῆς· ἐπεὶ ἀρχή ἐστι τῶν ἑτέρων. αὕτη γάρ ἐστιν,
ἐπεὶ μὴ ἄλλης ἀρχῆς ἔτυχεν οὖσα· μονὰς οὖν ἡ ἀρχὴ, καὶ πάν-
τα ἀριθμὸν ἐμπεριέχει, ὑπὸ μηδενὸς ἐμπεριεχομένη. καὶ
πάντα ἀριθμὸν γεννᾷ, ὑπὸ μηδενὸς γεννωμένη ἑτέρου ἀριθ- † ἀδι-
11 μοῦ. [11] Πᾶν δὲ τὸ γεννώμενον, ἀτελὲς, καὶ † διαιρετὸν, καὶ αὐ- αίρετον

cremento ac decremento obnoxium. Perfecto autē nihil horum cōtingit. Et quod augeri poteſt, augetur ab vnitate: perit autē a propria imbecilitate: cum nō amplius vnitatem capere valeat. Ipſa tibi itaq;, o Tat, iuxta potentiam deſcripta eſt Dei imago: quam ſi ad amuſſim ſpeculeris, & oculis cordis cōſideres, mihi fidem adhibe, o fili, cōperies tramitē ad ſuperna te ducētem: quinimo ipſa te deducet imago. Habet nāq; quiddam propriū ſpeculatio. Eos enim, qui contēplatione præueniunt, detinet, ac attrahit, inſtar, vt fertur, magnes lapis ferrum.

MERCVRII TRISMEGISTI AD FILIVM SVVM TAT QVOD DEVS INVISIBILIS MANIFESTISSIMVS SIT,

CAPVT QVINTVM.

HVnc etiam ſermonem tibi tranſcurrā, o Tat, 1
ne initio careas præſtantioris Dei nominis. Tu quoq; conſidera, qua arte id quod turba videri nō poſſe cenſet, ſolis luce tibi fiet clarius. Nō enim niſi eſſet, viſum fugeret. Omne enim apparens, genitum, * Nā apparuit |. quod autem non videtur, ſemper eſt. Non enim vt videatur, indiget: ſemper enim eſt, ac alia cuncta apparentia facit, ipſe nō viſus exiſtens: vt pote qui ſemper eſt, ac manifeſtans, ipſe non manifeſtatur. * Non ipſe genitus eſt: aſt in imaginatione omnia imaginari poſſe tribuens |. Imaginatio namq; genitorum tantum eſt. Nihil etenim præter generationem eſt imaginatio.
2 Ipſe vero vnus ingenitus eſt, nulli ſcilicet imaginationi aut conſpectui obnoxius. Cū autem omnia imaginationi ſubiiciat, per omnia videtur: ac in omnibus, maxime in quib. vult, apparebit. Tu itaq;, o Tat fili, precare primū Dominum ac Patrem, ſolum & nō vnum, ſed a quo vnus, propitium fore, vt talem Deum cognoſcere poſſis: & tibi radium vnum eius, ac tuæ intelligentiæ illucere. Solus namq; intellectus, quod videri non poteſt, intuetur. * ſicuti ipſe videri non poteſt |, ſi mentis oculis potes cernere, apparebit, o Tat. Abun-

ξητόν, καὶ μειωτόν· τῷ δὲ τελείῳ οὐδὲν τούτων γίνεται· καὶ τὸ μὲν αὐξητὸν αὐξάνεται, ἀπὸ τῆς μονάδος· ἁλίσκεται δὲ ὑπὸ τῆς αὐτοῦ ἀσθενείας, μηκέτι δυνάμενον τὴν μονάδα χωρῆσαι. Αὕτη σοι, ὦ Τάτ, κατὰ τὸ δυνατὸν ὑπογέγραπται τοῦ θεοῦ εἰκών· ἣν ἀκριβῶς εἰ θεάσῃ, καὶ νοήσεις τοῖς τῆς καρδίας ὀφθαλμοῖς, πίστευσόν μοι τέκνον, εὑρήσεις τὴν πρὸς τὰ ἄνω ὁδόν· μᾶλλον δὲ αὐτή σε ἡ εἰκὼν ὁδηγήσει. ἔχει γάρ τι ἴδιον ἡ θέα. τοὺς φθάσαντας θεάσασθαι κατέχει, καὶ ἀνέλκει καθάπερ φασὶν ἡ μαγνῆτις λίθος τὸν σίδηρον.

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ ΠΡΟΣ ΤΟΝ ΕΑΥΤΟΥ ΥΙΟΝ ΤΑΤ, ΟΤΙ ΑΦΑΝΗΣ ΘΕΟΣ, ΦΑΝΕΡΩΤΑΤΟΣ ΕΣΤΙ.

1 ΚΑΙ τόνδε σοι τὸν λόγον ὦ Τάτ, διεξελεύσομαι, ὅπως μὴ ἀμύητος ᾖς τοῦ κρείττονος θεοῦ ὀνόματος· σὺ δὲ νόει πῶς τὸ δοκοῦν τοῖς πολλοῖς ἀφανές, φανερώτατόν σοι γενήσεται. οὐ γὰρ † εἰ μὴ ἦν ἀφανὲς ἦν. πᾶν γὰρ τὸ φαινόμενον γεννητόν· ἐφάνη γάρ· τὸ δὲ ἀφανὲς ἀεί ἐστι. τοῦ γὰρ φανῆναι οὐ χρῄζει. ἀεὶ γάρ ἐστι, καὶ τὰ ἄλλα πάντα φανερὰ ποιεῖ, αὐτὸς ἀφανὴς ὢν ὡς ἀεὶ ὤν, φανερῶν αὐτὸς οὐ φανεροῦται· οὐκ αὐτὸς γεννώμενος, ἐν φαντασίᾳ δὲ πάντα φαντασιῶν. ἡ γὰρ φαντασία, μόνων τῶν γεννητῶν ἐστίν. οὐδὲν γάρ

† ἂν ἦν, εἰ

2 ἐστιν ἡ φαντασία, ἢ γένεσις. [2] Ὁ δὲ εἷς ἀγέννητος δηλονότι καὶ ἀφαντασίαστος, καὶ ἀφανής· τὰ δὲ πάντα φαντασιῶν, διὰ πάντων φαίνεται, καὶ ἐν πᾶσι, καὶ μάλιστα οἷς ἂν αὐτὸς βουληθῇ, φανεῖται. σὺ οὖν ὦ Τάτ τέκνον, εὖξαι πρῶτον τῷ κυρίῳ καὶ πατρὶ, καὶ μόνῳ καὶ οὐχ ἑνὶ, ἀλλ᾽ ἀφ᾽ οὗ ὁ εἷς, ἵλεω τυχεῖν, ἵνα δυνηθῇς τὸν τηλικοῦτον θεὸν νοῆσαι, κἂν ἀκτῖνά σοι κἂν μίαν αὐτοῦ τῇ σῇ διανοίᾳ ἐκλάμψαι. νόησις γὰρ μόνη ὁρᾷ τὸ ἀφανές, ὡς καὶ αὐτὴ ἀφανὴς οὖσα· εἰ δύνασαι τοῖς τοῦ νοῦ ὀφθαλμοῖς, φανήσεταί ὦ Τάτ· ἄφθονος

dans etenim per vniuerſum mundũ elucet Dominus. Intelligentiam ſumere, cõſpicere, & tanquã tuis manib. apprehendere potes, ac Dei imaginem intueri. Si autem & quod in te eſt, a te non videtur, quomodo ipſe in ſeipſo per oculos tibi apparebit? [3] Quod ſi ipſum intueri cupias, cõſidera Solem: conſide- 3
ra lunæ curſum: conſidera aſtrorum ordinem. Quis hunc obſeruat ordinem? Omnis enim ordo numero & loco circunſcribitur. Sol Deus maximus eſt eorum qui in cœlo Deorũ: cui omnes cedunt Dij cœleſtes, tanquam regi & potenti. Et hic tantus, terra & mari maior patitur ſupra ſe habere ſtellas ipſo minores, munus ſuum obeuntes. Quemnã erubeſcens, aut quem reformidans, o fili? Aſtrorum horum in cœlo exiſtẽtium quodlibet, nec ſimilem nec æqualem curſum efficiũt. Quis vnicuiq;
& modum & curſus magnitudinem determinauit? [4] Vrſa ipſa 4
quæ circa ſe torquetur, & vniuerſum mundum circumuoluẽs. quis in hoc organum dominatur? Quis mari limites circunſcripſit? Quis terram firmauit? Eſt enim quiſpiam, o Tat, qui horũ omnium factor eſt ac dominus. Non enim poteſt locus, numerus, aut menſura, ſine factore conſeruari. Omnis etenim ordo ſine loco & ſine mẽſura nuſquã fit. Quinetiam nec is domino priuaretur, o fili. * Etenim quod ordinis eſt expers, defectum patitur, quoquomodo ſe habeat, hoc quadam eſt ordinis ſerie,
ac ſub domino eſt, qui nedum ordinem ei preſcripſit|. [5] Vtinã 5
tibi fas eſſet volucri effecto volare in aera, ac ſublatus in medium terræ & cœli videres, terræ quidem ſoliditatem, maris autem diffuſionem, fluminum vero fluxus, aeris mollitudinem, ignis acumen, * aſtrorũ curſum|, cœli velocitatem, * & circa hęc ambitũ|. O ſpectaculum illud, o fili, fortunatiſſimum: hæc omnia ſub vno momento conſiderare, immobilẽ moueri, non viſibilem videri, * per ea quæ mundi ordo efficit, & iſte
eſt ordinis ornatus|. [6] Si cupis & per mortalia ea quę ſuper ter- 6
ram ac in profundo ſunt ſpeculari, conſidera, o fili, cõſtructum in vtero hominem, & accurate opificij artẽ ſcrutare, diſce quis pulchram ac Diuinam hanc operatus eſt hominis imaginem: quis oculos tornauit: quis nares & aures perfodit: quis os adaperuit: quis neruos produxit ac alligauit: quis venas deriuauit:

γὰρ ὁ κύριος φαίνεται διὰ παντὸς τοῦ κόσμου· νόησιν λαβεῖν ἰδεῖν,
καὶ λαβέσθαι αὐταῖς ταῖς χερσὶ δύνασαι, καὶ τὴν εἰκόνα τοῦ θεοῦ
θεάσασθαι. εἰ δὲ καὶ τὸ ἐν σοὶ ἀφανές ἐστί σοι, πῶς αὐτὸς ἐν σαυ-
3 τῷ διὰ τῶν ὀφθαλμῶν σοι φανήσεται; [3] Εἰ δὲ θέλεις αὐτὸν
ἰδεῖν, νόησον τὸν ἥλιον, νόησον τὸν σελήνης δρόμον, νόησον τῶν
ἀστέρων τὴν τάξιν· τίς ὁ τὴν τάξιν τηρῶν; τάξις γὰρ πᾶσα, περιώ-
ρισται ἀριθμῷ, καὶ τόπῳ. ὁ ἥλιος θεὸς μέγιστος τῶν κατ' οὐρανὸν
θεῶν, ᾧ πάντες εἴκουσιν οἱ οὐράνιοι θεοὶ, ὡσανεὶ βασιλεῖ, καὶ δυνάστῃ.
καὶ οὗτος ὁ τηλικοῦτος, ὁ μείζων γῆς, καὶ θαλάττης, ἀνέχεται ὑπὲρ
ἑαυτὸν ἔχων ἑαυτοῦ μικροτέρους † πολιτεύοντας ἀστέρας. τίνα αἰ- † πο-
δούμενος, ἢ τίνα φοβούμενος, ὦ τέκνον, ἕκαστος τούτων τῶν ἀστέ- λεύον-
ρων οὐ τὸν ὅμοιον, ἢ ἴσον δρόμον ποιοῦνται ἐν οὐρανῷ ὄντες. τίς τας
4 ὁ ἑκάστῳ τὸν τρόπον, καὶ τὸ μέγεθος τοῦ δρόμου ὁρίσας. [4] Ἄρκτος
αὐτὴ ἡ περὶ αὑτὴν στρεφομένη, καὶ τὸν πάντα κόσμον συμπερι-
φέρουσα. τίς ὁ τοῦτο κεκτημένος τὸ ὄργανον; τίς ὁ τῇ θαλάσσῃ
τοὺς ὅρους περιβαλών; τίς ὁ τὴν γῆν ἑδράσας; ἔστι γάρ τις, ὦ Τάτ,
ὁ τούτων πάντων ποιητὴς καὶ δεσπότης. ἀδύνατον γὰρ, ἢ τόπον,
ἢ ἀριθμὸν, ἢ μέτρον φυλαχθῆναι χωρὶς τοῦ ποιήσαντος. πᾶσα
γὰρ τάξις, ἀτοπία, καὶ ἀμετρία ἀποίητος, ἀλλ' οὐκ ἀδέσποτος
οὐδὲ αὕτη, ὦ τέκνον. καὶ γὰρ εἰ τὸ ἄτακτόν ἐστιν ἐνδεὲς, ὅτε κατέχει,
τοῦτό ἐστι τὸν τρόπον τῆς τάξεως, καὶ ὑπὸ τὸν δεσπότην ἐστὶ τὸν
5 μηδέπω † αὐτῷ τὴν τάξιν τάξαντα. [5] Εἴθε δυνατόν σοι ἦν † αὐτῇ
πτηνῷ γενομένῳ ἀναπτῆναι εἰς τὸν ἀέρα, καὶ μέσον ἀρθέντα τῆς γῆς
καὶ οὐρανοῦ ἰδεῖν, γῆς μὲν τὸ στερεὸν, θαλάσσης δὲ τὸ κεχυμένον,
ποταμῶν δὲ τὰ ῥεύματα, ἀέρος τὸ ἀνειμένον, πυρὸς τὴν ὀξύτη-
τα, ἄστρων τὸν δρόμον, οὐρανοῦ τὴν ταχύτητα, τὴν περὶ ταῦτα περί-
βασιν. ὢ θέας ἐκείνης, τέκνον, εὐτυχεστάτης, ὑπὸ μίαν ῥοπὴν
πάντα ταῦτα θεάσασθαι, τὸν ἀκίνητον διακινούμενον, καὶ τὸν ἀφα-
νῆ φαινόμενον, δι' ὧν ποιεῖ αὐτὴ ἡ τάξις τοῦ κόσμου· καὶ οὗτος ὁ
6 κόσμος τῆς τάξεως. [6] Εἰ θέλεις καὶ διὰ τῶν θνητῶν θεάσασθαι
τῶν ἐπὶ τῆς γῆς καὶ τῶν ἐν βυθῷ, νόησον, ὦ τέκνον, δημιουργούμενον
ἐν τῇ γαστρὶ τὸν ἄνθρωπον, καὶ τοῦ δημιουργήματος ἀκριβῶς τὴν τέχνην
ἐξέτασον, καὶ μάθε τίς ὁ δημιουργῶν τὴν καλὴν ταύτην καὶ θείαν
τοῦ ἀνθρώπου εἰκόνα· τίς ὁ τοὺς ὀφθαλμοὺς περιγράψας· τίς
ὁ τὰς ῥῖνας καὶ τὰ ὦτα τρυπήσας· τίς ὁ τὸ στόμα διανοίξας· τίς
ὁ τὰ νεῦρα ἐκτείνας, καὶ δεσμεύσας· τίς ὁ ὀχετεύσας τὰς φλέβας·

quis ossa solidauit: quis carni pellem circũduxit: quis digitos se parauit: quis pedib. plantam amplificauit: quis fodit poros: quis splenẽ produxit: quis cor pyramidatum fecit: * quis costas cõpegit| : quis iecur dilatauit: quis pulmonem cauernosum fecit: quis aluum amplissimã fecit: quis speciosiora in conspectum expressit, turpia vero cælauit? Conspice quot vnius materiæ artes, ac quot in vna circũscriptione opera, omnia per pulchra, & omnia cõmensurata, omnia autẽ multifariam. Quis hęc omnia fecit? Qualis mater? Qualis pater? nisi, qui nõ videtur, Deus: qui cuncta proprio nutu operatus est. [7] Nam simulachrũ aut 7
imaginẽ sine sculptore aut pictore nullus fieri dicet. Hoc autem opificium sine opifice factum erit? O multam cecitatem! O multam impietatem! O multam perfidiam! Nunquã, o fili Tat, opificia opifice excluseris. Quinimo præstãtior est tantus, eo quod secundũ Deum nomine, * tantus est omnium Pater. Nam solus iste est|, ac esse patrem hoc illi opus est. Si autẽ me quidpiam confidentius dicere coegeris, huius est essentia vniuersa cõcipere & creare. Et quemadmodum sine factore quicquam fieri non potest, sic & hunc semper non esse, nisi cuncta semper facientem, in cœlo, in terra, in aere, in profundo, in vniuerso mundi, in vniuerso vniuersi, in eo quod est, & in eo quod non est. Nam in omni illo nihil est, quod ipse nõ sit. Ipse est ea quæ sunt, & ea quæ non sunt. Quæ quidẽ sunt diuulgat: quæ autem nõ sunt in seipso habet. [8] Iste Dei nomine præstantior est: 8
iste non visus: iste patentissimus, mente consideratus: iste oculis patens: iste incorporeus, qui & multorum corporũ. Quinetiam de omni corpore nihil est, quod iste non sit. Nam omnia quæ sunt, & iste est. Ac eapropter ipse nomina omnia habet, quia vnius sunt patris. Et propter hoc ipse nomen non habet, cum omnium sit pater. Quis itaq; te benedicere poterit, super te aut ad te vsq;? Vbi autem aspectans te laudabo, sursum, deorsum, intrinsecus, extrinsecus? Non enim circa te modus, nõ locus, nec aliud quicquam eorum quæ sunt. Omnia autem in te: omnia a te: omnia das, & nihil suscipis. Nam omnia habes, & quod non habes, nihil est. [9] Quando autẽ te cantu edam. Neq; 9
enim hora tua neq; tempus deprehendi potest. Super quo au-

τίς ὁ τὰ ὀστέα στερροποιήσας· τίς ὁ δέρμα τῇ σαρκὶ περιβαλών·
τίς ὁ τοὺς δακτύλους διελών· τίς ὁ τοῖς ποσὶ βάσιν πλατύνας·
τίς ὁ διορύξας τοὺς πόρους· τίς ὁ τὸν σπλῆνα ἐκτείνας· τίς ὁ
τὴν καρδίαν πυραμοειδῆ ποιήσας· τίς ὁ τὰ † πλευρὰ σωδθείς· † νεῦρα
τίς ὁ τὸ ἧπαρ πλατύνας· τίς ὁ τὸν πνεύμονα † σηραγγώσας· † συραγ-
τίς ὁ τὴν κοιλίαν εὐρύχωρον ποιήσας· τίς ὁ τὰ τιμιώτατα εἰς τὸ γώσας·
φανερὸν ἐκτυπώσας, καὶ τὰ αἰσχρὰ κρύψας. ἴδε πόσαι τέχναι
μιᾶς ὕλης, καὶ πόσα ἔργα μιᾷ περιγραφῇ, καὶ πάντα περικαλ-
λῆ, καὶ πάντα μεμετρημένα, πάντα δὲ ἐν διαφορᾷ. τίς πάντα
ταῦτα ἐποίησε· ποία μήτηρ, ποῖος πατὴρ, εἰ μὴ ὁ ἀφανὴς θεὸς,
7 τῷ ἑαυτοῦ θελήματι πάντα δημιουργήσας. 7 Καὶ ἀνδριάντα
μὲν ἢ εἰκόνα χωρὶς ἀνδριαντοποιοῦ ἢ ζωγράφου οὐδείς φησι γε-
γονέναι. τοῦτο δὲ τὸ δημιούργημα χωρὶς δημιουργοῦ γέγονεν;
ὢ τῆς πολλῆς τυφλότητος· ὢ τῆς πολλῆς ἀσεβείας· ὢ τῆς πολ-
λῆς ἀγνωμοσύνης. μηδέποτε, ὦ τέκνον Τάτ, ἀποστερήσῃς τοῦ
δημιουργοῦ τὰ δημιουργήματα· μᾶλλον δὲ καὶ κρείττων ἐστὶν
ὅσος κατὰ θεὸν ὀνόματος, τοσοῦτός ἐστιν ὁ πάντων πατήρ. ἧ γὰρ
μόνος οὗτος, καὶ τοῦτο αὐτῷ τὸ ἔργον ἐστὶ πατέρα εἶναι. εἰ δέ τι
με καὶ τολμηρότερον ἀναγκάζεις εἰπεῖν, τούτου ἐστὶν οὐσία, τὸ
κύειν πάντα καὶ ποιεῖν. καὶ ὥσπερ χωρὶς τοῦ ποιοῦντος ἀδύνατόν
ἐστι γενέσθαι τι, οὕτω καὶ τοῦτον ἀεὶ μὴ εἶναι, εἰ μὴ πάντα ἀεὶ ποιοῦν-
τα, ἐν οὐρανῷ, ἐν γῇ, ἐν ἀέρι, ἐν βυθῷ, ἐν παντὶ τοῦ κόσμου,
ἐν παντί τοῦ παντὸς, τῷ ὄντι καὶ τῷ μὴ ὄντι. οὐδὲν γάρ ἐστιν ἐν παντὶ
ἐκείνῳ, ὃ οὐκ ἔστιν αὐτός, ἔστιν αὐτὸς, καὶ τὰ ὄντα καὶ τὰ μὴ ὄντα.
8 τὰ μὲν γὰρ ὄντα ἐφανέρωσε· τὰ δὲ μὴ ὄντα ἔχει ἐν ἑαυτῷ. 8 Οὗ-
τος ὁ θεοῦ ὀνόματος κρείττων· οὗτος ὁ ἀφανής· οὗτος ὁ φανερώτα-
τος, ὁ τῷ νοῒ θεωρητός· οὗτος ὁ τοῖς ὀφθαλμοῖς ὁρατός· οὗτος ὁ ἀ-
σώματος, ὁ πολυσώματος· μᾶλλον δὲ παντὸς σώματος οὐδέν ἐστιν
† ὃ οὗτος οὐκ ἔστι. πάντα γάρ ἃ ἐστι, καὶ οὗτός ἐστι. καὶ διὰ τοῦτο αὐτὸς † οὗτος ὃ
ὀνόματα ἔχει ἅπαντα, ὅτι ἑνός ἐστι πατρός· καὶ διὰ τοῦτο αὐτὸς ὄνο-
μα οὐκ ἔχει, ὅτι πάντων ἐστὶ πατήρ. τίς οὖν σε εὐλογῆσαι ὑπὲρ σοῦ ἢ
πρὸς σε δύναιτο. ποῦ δὲ καὶ βλέπων εὐλογήσω σε, ἄνω, κάτω, ἔσω, ἔξω.
οὐ γὰρ τρόπος, οὐ τόπος ἐστὶ περί σε, οὐδὲ ἄλλο οὐδὲν τῶν ὄντων· πάντα
δὲ ἔν σοι, πάντα ἀπό σου· πάντα δίδως, καὶ οὐδὲν λαμβάνεις. πάν-
9 τα γὰρ ἔχεις, καὶ οὐδὲν ὃ οὐκ ἔχεις. 9 Πότε δέ σε ὑμνήσω; οὔτε
γὰρ ὥραν σου, οὔτε χρόνον καταλαβεῖν δυνατόν· ὑπὲρ τίνος δὲ

tem te canam,ſuper his quæ operatus es, aut ſuper his quæ nõ feciſti,ſuper ijs quæ edidiſti,an ſuper ijs quę occuluiſti?Qua de cauſa vero te canam, quia meiipſius ſum: * an quod quidpiam proprium habeo|,aut velut alius exiſtẽs? Tu enim es,quicquid fuero:Tu es quod fecero:Tu es quod dixero:Tu quidẽ omnia es:Aliud nihil eſt,quod non es:Tu es omne genitum: * Tu ingenitum| : Mens quidem conſiderans,Pater vero conſtruens, Deus efficacia donans, Bonus autem vniuerſa faciens. Nam materiæ ſubtiliſſimum aer, aeris autem anima, animæ vero Mens,Mentis denique Deus.

MERCVRII TRISMEGISTI QVOD IN SOLO DEO BONVM EST, ALIBI VERO NVSQVAM,

CAPVT SEXTVM.

BOnum,o Æſculapi,in nullo eſt,pręterquam in ſolo Deo. Quinimo Bonum ſemper ipſe Deus eſt. Quod ſi ita ſit, eſſentiã eſſe decet omnis motus &generationis:expers autem nihil eſt eius, habens vero circa ſe conſtantem efficaciam,nõ egentem,ſimplicem,copioſiſſime ſuppeditantem,in principio vero vndiq;.Nã omne quod ſuggerit,Bonũ eſt.Quando dico & vndiq;,& ſemper bonum eſſe dico.Hoc autẽ nulli alij adeſt,niſi ſoli Deo.non enim cuiuſquã rei indiget,vt illud poſſidẽdi libidine male poſſideat, ac malus fiat. Neq; eorũ quæ ſunt quicquã venerandũ eſt ipſi, quo priuat⁹ mœſtus fiat. Mœror nãq; malitiæ pars eſt. Nec aliquid illo pręſtãtius eſt,a quo debelletur. * Neq; cõpar eſt ei,| a quo contumelia affici poſſit,& hac de cauſa eum amet. Nec qui audire contemnat,cui ſtomachetur,neq; prudẽtius, quod æmuletur. ² Cum autẽ hæc non ſint in cuiuſquã eſſentia,quid ſupererit præter vnicum illud Bonũ ? Nam veluti nihil horum malorum eſt in huiuſmodi eſſentia: ita in aliarum nulla Bonum cõperietur. In cunctis etenim alia omnia ſunt, æque in paruis & magnis,atq; in ſingulis,maxime in hoc animali omnium in-

καὶ ὑμνήσω· ὑπὲρ ὧν ἐποίησας, ἢ ὑπὲρ ὧν οὐκ ἐποίησας; ὑπὲρ
ὧν ἐφανέρωσας, ἢ ὑπὲρ ὧν ἔκρυψας; διὰ τί δὲ καὶ ὑμνήσω σε· ὡς
ἐμαυτοῦ ὤν; ὡς ἔχων τι ἴδιον; ὡς ἄλλος ὤν; σὺ γὰρ εἶ ὃ ἐὰν ὦ· σὺ
εἶ ὃ ἂν ποιῶ· σὺ εἶ ὃ ἂν λέγω. σὺ γὰρ πάντα εἶ, τὸ ἄλλο οὐδέν ἐστιν
ὃ μὴ † εἶ. σὺ εἶ πᾶν τὸ γενόμενον, σὺ τὸ μὴ γενόμενον· νοῦς μὲν νοού- † ἐστι
μενος, πατὴρ δὲ δημιουργῶν· θεὸς δὲ ἐνεργῶν· ἀγαθὸς δὲ καὶ πάν-
τα ποιῶν. ὕλης μὲν γὰρ τὸ λεπτομερέστερον ἀήρ· ἀέρος δὲ, ψυχή· ψυ-
χῆς δὲ, νοῦς· νοῦ δὲ, ὁ θεός.

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ ΟΤΙ ΕΝ ΜΟΝΩ ΤΩ ΘΕΩ ΤΟ ΑΓΑΘΟΝ ΕΣΤΙΝ, ΑΛΛΑΧΟΘΙ ΔΕ ΟΥΔΑΜΟΥ.

1 ΤΟ ἀγαθὸν ὦ Ἀσκληπιὲ, ἐν οὐδενί ἐστιν, εἰ μὴ
ἐν μόνῳ τῷ θεῷ· μᾶλλον δὲ τὸ ἀγαθὸν αὐ-
τός ἐστιν ὁ θεὸς ἀεί· εἰ δὲ οὕτως, οὐσίαν εἶναι
δεῖ πάσης κινήσεως, καὶ γενέσεως· ἔρημον δὲ
οὐδέν ἐστιν αὐτῆς· περὶ δὲ αὐτὴν στατικὴν ἐνέρ-
γειαν ἔχουσα, ἀνενδεῆ καὶ † ἀπέριττον, πληρε- † ἀπεί-
στάτην χορηγόν· ἐν δὲ ἀρχῇ † πάντοσε. πᾶν γὰρ ριτον,
χορηγοῦν, ἀγαθόν. ὅταν λέγω καὶ † πάντοσε, καὶ ἀεὶ ἀγαθόν ἐστι. τοῦ- † πάν-
το δὲ ἐν οὐδενὶ ἄλλῳ πρόσεστιν, εἰ μὴ μόνῳ τῷ θεῷ. οὔτε γὰρ ἐνδεής τως.
ἐστί τινος, ἵνα ἐπιθυμήσας αὐτὸ κτήσασθαι, † κακῶς κέκτηται καὶ † πάν-
κακὸς γένηται· οὐδὲ τῶν ὄντων οὐδὲν † ἀπόβλεπτόν ἐστιν αὐτῷ, ὃ ἀποβα- τως,
λὼν λυπηθήσεται. λύπη γὰρ κακίας μέρος. οὔτε κρεῖττον αὐτοῦ † κα-
ἐστὶν οὐδὲν, ὑφ᾽ οὗ πολεμηθήσεται, οὐδὲ σύζυγόν ἐστιν αὐτῷ εἰς κὸς κέ-
τὸ ἀδικηθῆναι· καὶ διὰ τοῦτο αὐτοῦ ἐρασθήσεται· οὔτε ἀνήκοον, κτηται·
2 ᾧ ὀργισθήσεται· οὔτε σοφώτερον, ὃ ζηλώσει. 2 Τούτων δὲ μὴ † ἀπό-
ὄντων τῇ οὐσίᾳ μηδενὸς, τί ὑπολείπεται, ἢ μόνον τὸ ἀγαθόν. βλητον
ὥσπερ γὰρ οὐδὲν τῶν κακῶν ἐν τῇ τοιαύτῃ οὐσίᾳ, οὕτως
ἐν οὐδενὶ τῶν ἄλλων τὸ ἀγαθὸν εὑρεθήσεται. ἐν πᾶσι γὰρ τὰ
ἄλλα πάντα ἐστὶ, καὶ ἐν τοῖς μικροῖς, καὶ ἐν τοῖς μεγάλοις,
καὶ ἐν τοῖς καθ᾽ ἕνα, καὶ ἐν ταὐτῷ τῷ ζώῳ τῷ πάντων μείζονι

gentiſſimo ac potẽtiſſimo. Paſſionib. quidẽ conferta ſunt genita. nã ipſa generatio patibilis eſt. Vbi autẽ paſſio, nuſquã bonũ: vbi autẽ bonũ, nuſquã ibi paſſio. Vbi nãq; dies, nuſquã nox: vbi vero nox, nuſquã dies. Nõ itaq; poteſt in generatiõe Bonũ eſſe, ſed in ſolo ingenito. Velut nãq; particeps oĩum facta eſt materia, ita & ipſius boni. Hac ſententia bonus eſt mundus, iuxta id quod oĩa operatur. Vt in parte operandi bonus ſit: in omnib. autẽ reliquis nõ bon⁹. Etenim patibilis eſt, ac mobilis, & patibiliũ operator. 3 In homine vero, ad mali collationẽ bonũ con-
ſtituitur. Nã quod nõ vltra modũ malũ eſt, ibi bonũ eſt. Quod autẽ hîc bonũ, particula eſt mali minima. Non igitur poteſt bonum hîc a nequitia purgari. Ibi nãq; bonũ malo fœdatur. Malo quidem oblitũ non amplius bonum permanet, non permanẽs autẽ, malum efficitur. Igitur in vnico Deo bonum eſt, * aut ipſe Deus Bonũ eſt |. Solum itaq; boni nomen ineſt hominibus, o Æſculapi, effectus vero nuſquã. * nam fieri nequit |. Non enim capeſſit id, corpus materia cõſtans, vndiq; nequitia conſtrictũ, laboribus, mœroribus, cupidinibus, iracundijs, deceptionibus, ac inſanis opinionibus. Et omnium nequiſſimũ eſt, o Æſculapi, vnumquodq; ſcilicet horũ proxime dictorũ, creditur hic maximũ eſſe bonum, quod citius inſuperabile malum eſt, nempe ventris cultus, omniũ nequitiarum ſuppeditator, & impoſtor, & ibi eſt abſentia boni. 4 Et ego quidẽ Deo gratias ago, qui in 4
mentem meã adeo miſerit de boni notitia, quod ipſum in mũdo eſſe ſit extra potentiã, cum mundus nequitiæ plenitudo ſit. Deus autem boni, aut Bonum Dei. Nã Pulchri excellẽtiæ ſunt circa ipſam eiuſdẽ boni apparentis eſſentiã, & puriores & ſinceriores, forſitan & ipſæ illius eſſentiæ ſunt. Auderem enim dicere, o Æſculapi, Dei eſſentiam, ſiquidem eſſentiã habet, Pulchrum eſſe. Pulchrum autẽ & Bonum nihil reperitur eorum, quæ ſunt in mundo. Omnia nãq; oculo ſuccumbentia, ſpectra ſunt & velut lineamẽta. Quæ vero non ſubmittuntur oculo, ſuper omnia quidẽ ſunt ea quæ Pulchri & Boni. Nã ſicut oculus Deum intueri non poteſt: ita nec pulchrũ & Bonum. Hæ nãq; ſunt Dei partes, incolumes, propriæ, ſui ſolius, familiares, inſeparabiles, amabiliſſimæ: quas vel ipſe Deus amat: vel ipſæ Deũ

καὶ δυνατωτάτῳ. παθῶν γὰρ πλήρη τὰ γεννητά, αὐτῆς τῆς γενέ-
σεως παθητῆς οὔσης. ὅπου δὲ πάθος, οὐδαμοῦ τὸ ἀγαθόν· ὅ-
που δὲ τὸ ἀγαθὸν, οὐδαμοῦ οὐδὲ ἓν τὸ πάθος. ὅπου γὰρ ἡμέ-
ρα, οὐδαμοῦ νύξ· ὅπου δὲ νὺξ, οὐδαμοῦ ἡμέρα. ὅθεν ἀδύνατον ἐν
γενέσει εἶναι τὸ ἀγαθόν· ἐν μόνῳ δὲ τῷ ἀγεννήτῳ. ὥσπερ δὲ με-
τουσία πάντων ἐστὶν ἐν τῇ ὕλῃ δεδομένη, οὕτω καὶ τοῦ ἀγαθοῦ.
τοῦτον τὸν τρόπον ἀγαθὸς ὁ κόσμος, καθὰ καὶ αὐτὸς πάντα ποιεῖ
ὡς ἐν τῷ μέρει τοῦ ποιεῖν ἀγαθὸς εἶναι· ἐν δὲ τοῖς ἄλλοις πᾶσιν
οὐκ ἀγαθός. καὶ γὰρ παθητός ἐστι, καὶ κινητὸς, καὶ παθητῶν ποιη-
3 τής. [3] Ἐν δὲ τῷ ἀνθρώπῳ, κατὰ σύγκρισιν † τοῦ κακοῦ τὸ ἀ- † τοῦ ἀ-
γαθὸν τέτακται. τὸ γὰρ μὴ λίαν κακὸν, ἐνθάδε τὸ ἀγαθόν ἐστι· γαθοῦ
τὸ δὲ ἐνθάδε ἀγαθὸν, μόριον τοῦ κακοῦ τὸ ἐλάχιστον. ἀδύνατον τὸ κα-
οὖν τὸ ἀγαθὸν ἐνθάδε καθαρεύειν τῆς κακίας. κακοῦται γὰρ ἐν- κὸν
θάδε τὸ ἀγαθόν. κακούμενον γὰρ οὐκέτι ἀγαθὸν μένει. μὴ μεῖ-
ναν δὲ, κακὸν γίνεται. ἐν μόνῳ ἄρα τῷ θεῷ τὸ ἀγαθόν ἐστι, ἢ
αὐτός ἐστιν ὁ θεὸς τὸ ἀγαθόν. μόνον οὖν, ὦ Ἀσκληπιὲ, τὸ ὄνομα
τοῦ ἀγαθοῦ ἐν ἀνθρώποις· τὸ δὲ ἔργον οὐδαμοῦ. ἀδύνατον γάρ.
οὐ γὰρ χωρεῖ σῶμα ὑλικὸν τὸ πάντοθεν ἐσφιγμένον κακίᾳ καὶ πό-
νοις, καὶ ἀλγηδόσι, καὶ ἐπιθυμίαις, καὶ ὀργαῖς, καὶ ἀπάταις, καὶ δόξαις
ἀνοήτοις· καὶ τὸ πάντων κάκιστόν ἐστιν, ὦ Ἀσκληπιὲ, ὅτι ἕκαστον τού-
των τῶν προειρημένων ἐμπεπίστευται ἐνθάδε τὸ μέγιστον εἶναι ἀ-
γαθὸν τὸ μᾶλλον ἀνυπέρβλητον κακὸν, ἡ γαστριμαργία ἡ τῶν κα-
κῶν πάντων χορηγὸς, ἡ πλάνη, ἡ ἀπουσία ἐνθάδε τοῦ ἀγαθοῦ
4 ἐστι. [4] Κἀγὼ δὲ χάριν ἔχω τῷ θεῷ, τῷ εἰς νοῦν μοι βαλόντι κἂν
περὶ τῆς γνώσεως τοῦ ἀγαθοῦ, ὅτι ἀδύνατόν ἐστιν αὐτὸ ἐν τῷ κόσ-
μῳ εἶναι. ὁ γὰρ κόσμος πλήρωμά ἐστι τῆς κακίας· ὁ δὲ θεὸς τοῦ ἀγα-
θοῦ, ἢ τὸ ἀγαθὸν τοῦ θεοῦ. αἱ γὰρ ἐξοχαὶ † τοῦ καλοῦ περὶ αὐτήν εἰσι † τῶν κα-
τοῦ τὴν οὐσίαν † φαίνοντος, καὶ καθαρώτεραι καὶ εἰλικρινέστεραι, τάχα λῶν
που καὶ αὗται αἱ οὐσίαι ἐκείνου. τολμητέον γὰρ εἰπεῖν, ὦ Ἀσκληπιὲ, ὅτι ἡ † φαί-
οὐσία τοῦ θεοῦ, εἴγε οὐσίαν ἔχει, τὸ καλόν ἐστι· τὸ δὲ καλὸν καὶ ἀγαθὸν οὐδέν νονται
ἐστι καταλαβέσθαι τῶν ἐν τῷ κόσμῳ. πάντα γὰρ τῷ ὀφθαλμῷ ὑπο-
πίπτοντα, εἴδωλά ἐστι, καὶ ὥσπερ σκιογραφίαι· τὰ δὲ μὴ ὑποπί-
πτοντα, μάλιστα δὲ ἡ τοῦ καλοῦ καὶ τοῦ ἀγαθοῦ. καὶ ὥσπερ ὁ ὀφθαλμὸς
οὐ δύναται τὸν θεὸν ἰδεῖν, οὕτως οὔτε τὸ καλὸν καὶ τὸ ἀγαθόν. ταῦτα
γὰρ τὰ μέρη τοῦ θεοῦ ἐστιν ὁλόκληρα, ἴδια αὐτοῦ μόνου, οἰκεῖα,
ἀχώριστα, ἐρασμιώτατα, ὧν ἢ αὐτὸς ὁ θεὸς ἐρᾷ, ἢ αὐτὰ τοῦ θεοῦ

amant. [5] Si Deum cognoſcere potes, Pulchrũ & Bonum co- 5
gnoſces, prælucens ac a Deo præradiatum. Pulchritudo nãq; illa incõparabilis, & bonum illud vltra imitationẽ, inſtar ipſius Dei. Veluti itaq; Deum intelligis: ita pulchrum & Bonũ intellige. Nã ſociari non poſſunt hęc reliquis aliorum animantium, cũ a Deo ſeuocari non valeant. Si de Deo ſiſcitaris, de Pulchro quoq; ſiſcitaberis. Vnica nãq; via ad illud fert, cum cognitiõe nempe pietas. Quocirca qui ignorant, & pietatis viã reſpuunt, * pulchrum | & bonũ hominem dicere confidunt, qui nec in ſomnis ſi quod ſit bonũ, ſpeculati ſunt: quinetiam omni nequitia præoccupati, malum eſſe bonum credũt: & ſic illo ſine ſatietate vtuntur: ac illo priuari formidãt, omnia autẽ impugnãtes, vt non ſolũ habeant, quinimo illud amplificẽt. Huiuſmodi ſunt humana bona & pulchra, o Æſculapi, quę vitare nec odiſſe valemus. Omnium quidem moleſtiſſimum, quod eorum indigẽtiam habemus, ac abſq; his vitam ducere non poſſumus.

MERCVRII TRISMEGISTI QVOD MAXIMVM INTER HOMINES MALVM EORVM QVAE DE DEO SVNT IGNORANTIA,

CAPVT SEPTIMVM.

QVo rapimini, o temulẽti homines, qui merum ignorantiæ ſermonem epotaſtis: quẽ 1
ne ferre quidẽ poteſtis? Atqui iam ipſum vomite: ſtate ſobrie degentes, elapſum viſum oculis cordis recipientes. Sin minus omnes poteſtis, at ſaltem qui poteritis. Ignorantiæ nãq; prauitas vniuerſam terrã alluit, & profligat deploratam in corpore animã, non patiens eam ſalutis portubus applicare. [2] Ne igitur vna periclitemini 2
cum multo fluctu. Contrarias autẽ vndas paſſi, qui incolumitatis portum apprehẽdere poteſtis, ad hunc applicate. Percuntamini ducem, qui ad manum viam vos doceat, ad intelligentiæ fores: vbi emicans eſt lumen, vacuum a tenebris: vbi nullus temulentiæ indulget: ſed omnes ſobrie degunt, corde aſpiciẽtes

5 ἐρᾷ. 5 Εἰ δύνασαι νοῆσαι τὸν θεὸν, νοήσεις τὸ καλὸν καὶ ἀγαθὸν, τὸ ὑπέρλαμπρον, τὸ ὑπερλαμπόμενον ὑπὸ τοῦ θεοῦ. ἐκεῖνο γὰρ τὸ κάλλος ἀσύγκριτον, καὶ ἐκεῖνο τὸ ἀγαθὸν ἀμίμητον, ὥσπερ καὶ αὐτὸς ὁ θεός. ὡς οὖν τὸν θεὸν νοεῖς, οὕτω καὶ τὸ καλὸν καὶ ἀγαθὸν νόει. ἀκοινώνητα γὰρ ταῦτα τοῖς ἄλλοις τῶν ἄλλων ζώων ἐστὶ, διὰ τὸ ἀχώριστα εἶναι τοῦ θεοῦ. ἐὰν περὶ τοῦ θεοῦ ζητῇς, καὶ περὶ τοῦ καλοῦ ζητεῖς. μία γάρ ἐστιν ἡ εἰς αὐτὸ ἀποφέρουσα ὁδὸς, ἡ μετὰ γνώσεως εὐσέβεια· ὅθεν οἱ ἀγνοοῦντες, καὶ μὴ ὁδεύσαντες τὴν περὶ τῆς εὐσεβείας ὁδὸν, καλὸν καὶ ἀγαθὸν τολμῶσι λέγειν ἄνθρωπον, μηδὲ ὄναρ θεασάμενον εἴ τι ἐστὶν ἀγαθὸν, ἀλλὰ παντὶ κακῷ περιειλημμένον, καὶ τὸ κακὸν πιστεύσαντα ἀγαθὸν εἶναι, καὶ οὕτως αὐτῷ χρώμενον ἀκορέστως, καὶ φοβούμενον αὐτοῦ στερηθῆναι· πάντα δὲ ἀγωνιζόμενον, ἵνα μὴ μόνον ἔχῃ, ἀλλὰ καὶ ἐπαύξῃ. τοιαῦτα τὰ ἀνθρώπεια ἀγαθὰ, καὶ τὰ καλὰ, ὦ Ἀσκληπιὲ, ἃ οὔτε φυγεῖν δυνάμεθα, οὔτε μισῆσαι. τὸ γὰρ πάντων χαλεπώτατον, ὅτι χρείαν αὐτῶν ἔχομεν, καὶ ζῆν τούτων χωρὶς οὐ δυνάμεθα.

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ ΟΤΙ ΜΕΓΙΣΤΟΝ ΚΑΚΟΝ ΕΝ ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ, Η ΠΕΡΙ ΤΟΥ ΘΕΟΥ ΑΓΝΩΣΙΑ.

1 ΠΟΙ φέρεσθε ὦ ἄνθρωποι, μεθύοντες, τὸν
τῆς ἀγνωσίας ἄκρατον λόγον ἐκπιόντες, ὃν
οὐδὲ φέρειν δύνασθε. ἀλλ' ἤδη αὐτὸν καὶ ἐ-
μεῖτε· στῆτε νήψαντες, ἀναβλέψαντες τοῖς τῆς
καρδίας ὀφθαλμοῖς· καὶ εἰ μὴ πάντες δύνα-
σθε, οἵγε καὶ δυνάμενοι. ἡ γὰρ τῆς ἀγνωσίας
κακία ἐπικλύζει πᾶσαν τὴν γῆν, καὶ συμ-
φθείρει τὴν ἐν τῷ σώματι κατακεκλεισμέ-
νην ψυχὴν, μὴ ἐῶσα ἐνορμίζεσθαι τοῖς τῆς σωτηρίας λιμέσι. μὴ συγ-
2 κατενεχθῆτε τοιγαροῦν τῷ πολλῷ ῥεύματι. 2 Ἀναρροίᾳ δὲ χρησά-
μενοι, οἱ δυνάμενοι λαβέσθαι τοῦ τῆς σωτηρίας λιμένος, ἐνορμισά-
μενοι τούτῳ, ζητήσατε χειραγωγὸν τὸν ὁδηγήσοντα ὑμᾶς ἐπὶ
τὰς τῆς γνώσεως θύρας, ὅπου ἐστὶ τὸ λαμπρὸν φῶς, τὸ καθαρὸν σκό-
τους· ὅπου οὐδὲ εἷς μεθύει, ἀλλὰ πάντες νήφουσιν, ἀφορῶντες τῇ καρδίᾳ

ad eũ,qui conſpici vult. Non enim audiri,non dici,non videri oculis poteſt:quinimo mente & corde. Primum decet te perrumpere,quem defers amictum,ignorantiæ texturã, nequitiæ firmamentum,corruptionis nodum,tenebroſum ambitum,viuam mortem,ſenſitiuum cadauer, circumlatũ ſepulchrum,inquilinum furem,per ea quę amat oſorẽ,per quę autem odit inuidentem. [3] Talis eſt quo tectus eſt inimicus amictus,ſuffocãs 3
infra teipſum:ne viſum recipiens, & veritatis pulchritudinem ſpeculatus,& in ea incumbens Bonum,oderis ipſius nequitiã, perſpectis eius inſidijs,quibus tibi inſidiatus eſt,efficiens inſenſilia ea,quæ cenſebantur & viſu erant ſenſilia, multa materia illa obſtruens,ac abominabili voluptate implens, ne quæ te audire decet,audias,nec videas quæ te conſpicere decet.

MERCVRII TRISMEGISTI QVOD EORVM QVAE SVNT, NIHIL DEPERIT, AT MVTATIONES SEDVCTI HOMINES ABOLITIONES ET INTBRITVS DICVNT,

CAPVT OCTAVVM.

DE anima & corpore nunc dicendũ eſt,o fili. 1
Quo nam modo anima ſit immortalis, efficacia autem quanta ſit in conſtitutione corporis ac diſſolutione. Circa nihil etenim horum mors eſt:ſed conſideratio eſt immortalis denominationis,aut vanum opus,aut per priuationem primæ literæ, dicitur mortalis, pro immortalis.Mors enim abolitionis eſt.Eorũ vero quę ſunt in mundo,nihil deperit.Nam ſi mũdus ſecundus Deus ſit,animalq́ue immortale, non poteſt immortalis animalis pars vlla deperire.Quæ autẽ in mundo ſunt,omnia mundi ſunt partes, maxime quidem homo,rationabile animal. [2] Omnium autem 2
primus re vera æternus,ingenitus,& omniũ opifex, Deus. Secundus vero qui ad ipſius imaginẽ ab ipſo factus eſt,& ab ipſo numine afflatus, nutritus, & immortalitate prædıtus, velut a proprio patre,ſemperuiuens tanquam immortalis.Semper vi-

εἰς τὸν ὁραθῆναι θέλοντα. οὐ γάρ ἐστιν ἀκουστὸς, οὐδὲ λεκτὸς, οὐδὲ ὁρατὸς ὀφθαλμοῖς, ἀλλὰ νῷ καὶ καρδίᾳ. πρῶτον δὲ δεῖ σε περιρρήξασθαι, ὃν φορεῖς χιτῶνα, τὸ τῆς ἀγνωσίας ὕφασμα, τὸ τῆς κακίας στήριγμα, τὸν τῆς φθορᾶς δεσμὸν, τὸν σκοτεινὸν περίβολον, τὸν ζῶντα θάνατον, τὸν † αἰσθητικὸν νεκρὸν, τὸν περιφόρητον τάφον, † αἰσθη
τὸν ἔνοικον λῃστὴν, τὸν δι' ὧν φιλεῖ μισοῦντα, καὶ δι' ὧν μισεῖ φθονοῦντα. τὸν

3 Τοιοῦτός ἐστιν, ὃν ἐνεδύσω ἐχθρὸν χιτῶνα, ἄγχων σε κάτω πρὸς αὐτὸν, ἵνα μὴ ἀναβλέψας καὶ θεασάμενος τὸ κάλλος τῆς ἀληθείας, καὶ τὸ ἐγκείμενον ἀγαθὸν, μισήσῃς τὴν τούτου κακίαν, νοήσας αὐτοῦ τὴν ἐπιβουλὴν, ἣν ἐπεβούλευσέ σοι τὰ δοκοῦντα καὶ νομιζόμενα αἰσθητήρια ἀναίσθητα ποιῶν, τῇ πολλῇ ὕλῃ αὐτὰ ἀποφράξας, καὶ μυσαρᾶς ἡδονῆς ἐμπλήσας, ἵνα μήτε ἀκούῃς περὶ ὧν ἀκούειν σε δεῖ, μήτε βλέπῃς περὶ ὧν βλέπειν σε δεῖ.

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ, ΟΤΙ ΟΥΔΕΝ ΤΩΝ ΟΝΤΩΝ ΑΠΟΛΛΥΤΑΙ, ΑΛΛΑ ΤΑΣ ΜΕΤΑΒΟΛΑΣ ΑΠΩΛΕΙΑΣ ΚΑΙ ΘΑΝΑΤΟΥΣ ΠΛΑΝΩΜΕΝΟΙ ΛΕΓΟΥΣΙΝ ΟΙ ΑΝΘΡΩΠΟΙ.

1 ΠΕΡΙ ψυχῆς καὶ σώματος, ὦ παῖ, νῦν λεκτέον, τρόπῳ μὲν ποίῳ ἀθάνατος ἡ ψυχή· ἐνεργεία δὲ ποταπή ἐστι συστάσεως σώματος, καὶ διαλύσεως. περὶ οὐδὲν γὰρ αὐτῶν ὁ θάνατος, ἀλλὰ νόημά ἐστιν ἀθανάτου προσηγορίας, ἢ κενὸν ἔργον, ἢ κατὰ στέρησιν τοῦ πρώτου γράμματος λεγόμενος θάνατος, ἀντὶ τοῦ ἀθάνατος. ὁ γὰρ θάνατος, ἀπωλείας ἐστίν· οὐδὲν δὲ τῶν ἐν τῷ κόσμῳ ἀπόλλυται. εἰ γὰρ δεύτερος θεὸς ὁ κόσμος, καὶ ζῶον ἀθάνατον, ἀδύνατόν ἐστι τοῦ ἀθανάτου ζώου μέρος τι ἀποθανεῖν· πάντα δὲ τὰ ἐν τῷ κόσμῳ, μέρη ἐστὶ τοῦ κόσμου· μάλιστα δὲ ὁ ἄνθρωπος τὸ λογικὸν ζῶον.

2 Πρῶτος γὰρ πάντων ὄντως, καὶ ἀΐδιος, καὶ ἀγέννητος, καὶ δημιουργὸς τῶν ὅλων θεός. δεύτερος δὲ ὁ κατ' εἰκόνα αὐτοῦ ὑπ' αὐτοῦ γενόμενος, καὶ ὑπ' αὐτοῦ συνεχόμενος, καὶ τρεφόμενος, ἀθανατιζόμενος, † αἰ-
ὡς ὑπὸ † ἰδίου πατρὸς, ἀείζωον, ὡς ἀθάνατος. τὸ γὰρ ἀείζωον, δίου

uens quidem ab æterno diſcrepat. Nã hic ab alio factus nõ eſt. Quod ſi factus eſſet, nuſquã a ſeipſo factus eſſet: quinimo ſemper eſt. Æternum enim eſt, cuius æternum eſt omne. Pater autem ipſe a ſeipſo æternus. Mundus vero a patre ſemperuiuẽs, ac immortalis factus eſt. [3] Et quantũ materiæ reſidebat apud 3
ſe, id totum Pater in corpus redigens, & coaceruãs globoſum fecit, huic ipſi qualitatẽ circunducens, quæ & immortalis erat, habẽs æternum materiæ habitũ. Affatim autem idearũ qualia pater inſerens globo, velut in antro concluſit, cũ omni qualitate, ornare cupiens quod cum ipſo erat quale. immortalitate enim circuiuit vniuerſum corpus: ne materia ab huius cõmixtione recedere volens, in ſuam ipſius confuſionem diſſoluatur. Quando enim incorporea erat materia, o fili, confuſa erat. Habet autem hic etiam quandam, circa reliqua parua qualia ſe implicantem, id ſcilicet, quod eſt incrementi & decremẽti, quod homines mortẽ denominant. [4] Ipſa vero cõfuſio fit circa ter- 4
rena viuentia. Celeſtium nimirum corpora, vnicũ habent ordinem, quẽ primitus a patre ſortita ſunt. Obſeruatur enim ipſe a ſingulorũ inſtauratione indiſſolutus. Renouatio autem conſtitutionis terrenorum corporum, ſiue diſſipatio ipſa, reſtaurãtur in corpora indiſſolubilia, id eſt immortalia: ac perinde fit ſenſus priuatio, non autem corporũ abrogatio. [5] Tertium au- 5
tem viuens homo, iuxta mundi imaginem factus, mentem ad Patris arbitrium habens, præter reliqua terrena animantia, non tantum cum ſecundo Deo ſympathiam habet, verum & primi notitiam. Alterum quidem præſentit, velut corporeum: alterius autem intelligentiam ſuſcipit, tanquam incorporei, & mentis Boni. Hoc itaque animal num abrogatur? Bona verba, o fili, & intellige quid Deus, quid mundus, quid animal immortale, quid animal diſſolubile: & cognoſce mundum quidẽ a Deo & in Deo, hominẽ vero a mundo & in mundo: initium autem & ſumma & omnium conſtitutio, Deus.

τοῦ ἀϊδίου διαφέρει. ὁ μὲν γὰρ ὑπὸ ἑτέρου οὐκ ἐγένετο· εἰ δὲ καὶ
ἐγένετο, ὑφ' ἑαυτοῦ οὔποτε ἐγένετο, ἀλλ' ἀεὶ γίνεται. τὸ γὰρ ἀΐ-
διον, οὗ ἀΐδιόν ἐστι τὸ πᾶν. ὁ δὲ πατὴρ, αὐτὸς ἑαυτοῦ ἀΐδιος·
ὁ δὲ κόσμος ὑπὸ τοῦ πατρὸς † ἀείζωος καὶ ἀθάνατος γέγονε. † ἀΐ-
3 [3] Καὶ ὅσον ἦν τῆς ὕλης ἀποκείμενον τῷ ἑαυτοῦ, τὸ πᾶν ὁ πα- διος
τὴρ σωματοποιήσας καὶ ὀγκώσας, ἐποίησε σφαιροειδὲς, τούτῳ
αὐτῷ τὸ ποιὸν περιθεὶς, οὖσαν καὶ αὐτὴν ἀθάνατον καὶ ἔχουσαν
ἀΐδιον τὴν ὑλότητα. πλέον δὲ τῶν ἰδεῶν τὰ ποιὰ ὁ πατὴρ ἐγκα-
τασπείρας τῇ σφαίρᾳ, ὥσπερ ἐν ἄντρῳ κατέκλεισε πάσῃ ποιότη-
τι, κοσμῆσαι βουλόμενος τὸ μετ' αὐτοῦ ποιόν· τῇ δὲ ἀθανασίᾳ
περιβαλὼν τὸ πᾶν σῶμα, ἵνα μὴ ὕλη καὶ τῆς τούτου συστάσεως
θελήσασα ἀποστῆναι, διαλυθῇ εἰς τὴν ἑαυτῆς ἀταξίαν. ὅτε γὰρ
ἦν ἀσώματος ἡ ὕλη, ὦ τέκνον, ἄτακτος ἦν· ἔχει δὲ καὶ ἐνθάδε
† τινὰ περὶ τὰ ἄλλα μικρὰ ποιὰ εἱλουμένην, τὸ τῆς αὐξήσεως, † τὴν
4 καὶ τὸ τῆς μειώσεως, ὃν θάνατον οἱ ἄνθρωποι καλοῦσιν. [4] Αὕτη
δὲ ἡ ἀταξία † περὶ τὰ ἐπίγεια ζῷα γίνεται. τῶν γὰρ οὐρανίων † ἐπὶ
τὰ σώματα μίαν τάξιν ἔχει, ἣν εἴληχεν ἀπὸ τοῦ πατρὸς τὴν ἀρ-
χήν· τηρεῖται δὲ αὕτη ὑπὸ τῆς ἑκάστου ἀποκαταστάσεως ἀδιάλυ-
τος· ἡ δὲ ἀποκατάστασις τῶν ἐπιγείων σωμάτων συστάσεως † ἡ δὲ † ἡ δὲ
διάλυσις αὐτὴ, ἀποκαθίσταται εἰς τὰ ἀδιάλυτα σώματα, τουτέστι
τὰ ἀθάνατα· καὶ οὕτω στέρησις γίνεται τῆς αἰσθήσεως, οὐκ ἀπώ-
5 λεια τῶν σωμάτων. [5] Τὸ δὲ τρίτον ζῷον ὁ ἄνθρωπος, κατ' εἰ-
κόνα τοῦ κόσμου γενόμενος, † νοῦν κατὰ βούλησιν τοῦ πατρὸς ἔχων † οὐ
παρὰ τὰ ἄλλα ἐπίγεια ζῷα, οὐ μόνον πρὸς τὸν δεύτερον θεὸν
συμπάθειαν ἔχων, ἀλλὰ καὶ ἔννοιαν τοῦ πρώτου. τοῦ μὲν γὰρ αἰσθά-
νεται ὡς σώματος· τοῦ δὲ ἔννοιαν λαμβάνει ὡς ἀσωμάτου, καὶ νοῦ
τοῦ ἀγαθοῦ. Τοῦτο οὖν οὐκ ἀπόλλυται τὸ ζῷον; Εὐφήμησον, ὦ
τέκνον, καὶ νόησον, τί θεὸς, τί κόσμος, τί ζῷον ἀθάνατον, τί ζῷον
διαλυτόν· καὶ νόησον, ὅτι ὁ μὲν κόσμος ὑπὸ τοῦ θεοῦ, καὶ ἐν τῷ
θεῷ· ὁ δὲ ἄνθρωπος, ὑπὸ τοῦ κόσμου, καὶ ἐν τῷ κόσμῳ· ἀρχὴ
δὲ, καὶ περιοχὴ καὶ σύστασις πάντων, ὁ θεός.

MERCVRII TRISMEGISTI DE INTELLIGENTIA ET SENSV. ET QVOD IN SOLO DEO PVLCHRVM ET BONVM EST, ALIBI VERO NVSQVAM,

CAPVT NONVM.

NVper, o Æſculapi, perfectum edidi ſermo- 1
nem: nunc autem neceſſarium arbitror cõ-
ſentaneum eſſe etiam de ſenſu tractatum e-
diſſerere. Senſus etenim & intelligentia diſ-
crimen habere cẽſentur: eo quod illud ma-
teriale, hoc vero eſſentiale ſit. Mihi tamen
aparent ambo coaleſcere, non autẽ diuidi. in hominib. loquor.
In cæteris nãq; animantib. naturæ ſenſus cõiungitur, in homi-
nib. vero intelligentia. Ab intelligẽtia autem tantum diſtat in-
tellectus, quantum a diuinitate Deus: Nimirũ diuinitas a Deo
eſt, intelligentia vero ab intellectu, ſoror exiſtens ſermonis, ac
ſibi mutuo inſtrumenta. Neque enim ſermo voce depromitur
abſq; intelligentia: vt nec intelligentia ſine ſermone eluceſcit.
[2] Senſus itaq; & intelligentia ambo in hominẽ vna confluunt, 2
velut inter ſe connexa. Nam ſine ſenſu intelligi nõ poteſt, neq;
ſine intelligentia ſenſu percipi. Fieri autem poteſt, intelligen-
tiam ſine ſenſu intelligi, eorum inſtar qui in ſomnijs viſum ſpe-
culantur. Mihi autem apparet fieri vtroſq; effectus in ſomnio-
rum viſu, expergefactis enim ſenſus in corpus dirimitur, & in
animam. Et cum vtræq; ſenſus partes ad ſe inuicẽ conueniũt,
tũ intelligentia pronunciatur a mente progenita. [3] Mens qui- 3
dem omnes notitias concipit, nimirũ bonas, quo temporis a
Deo ſemina receperit, contrarias autẽ quando ab aliquo Dæ-
monum. Nulla nãq; mũdi pars Dæmonis eſt exors, Dæmonis
inquam a Deo ſplendentis: qui quidem ſubintrãs, ſerit propriæ
efficaciæ ſemen. Et enixa eſt mens quod ſatum fuerat, adulte-
ria, cædes, parricidia, ſacrilegia, impietates, ſuſpẽdia, manifeſtas
præcipitantias, & cætera omnia, quotquot ſunt Dæmonum o-
pera. [4] Dei quidem ſemina pauca, equidem magna, pulchra, & 4
bona, probitas, continentia, & pietas. Eſt autẽ pietas Dei co-

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ, ΠΕΡΙ ΝΟΗΣΕΩΣ, ΚΑΙ ΑΙΣΘΗΣΕΩΣ, ΚΑΙ ΟΤΙ ΕΝ ΜΟΝΩΙ ΤΩΙ ΘΕΩΙ ΤΟ ΚΑΛΟΝ, ΚΑΙ ΤΟ ΑΓΑΘΟΝ ΕΣΤΙΝ, ΑΛΛΑΧΟΘΙ ΔΕ ΟΥΔΑΜΟΥ.

1 ΧΘΕΣ, ὦ Ἀσκληπιὲ, τὸν τέλειον ἀποδέ-
δωκα λόγον· νῦν δὲ ἀναγκαῖον ἡγοῦμαι
ἀκόλουθον ἐκείνῳ, καὶ τὸν περὶ αἰσθήσεως
λόγον διεξελθεῖν. αἴσθησις γὰρ καὶ † νόησις † κίνη-
διαφορὰν μὲν δοκοῦσιν ἔχειν, ὅτι ἡ μὲν ὑλι- σις
κή ἐστιν, ἡ δὲ οὐσιώδης· ἐμοὶ δὲ δοκοῦσιν
ἀμφότεραι ἡνῶσθαι, καὶ μὴ διαιρεῖσθαι, ἐν ἀν-
θρώποις † λέγω. ἐν γὰρ τοῖς ἄλλοις ζώοις † λόγῳ
ἡ αἴσθησις τῇ φύσει ἥνωται· ἐν δὲ ἀνθρώποις ἡ νόησις. νοήσεως δὲ
ὁ νοῦς διαφέρει τοσοῦτον, ὅσον ὁ θεὸς θειότητος. ἡ μὲν γὰρ θειότης ὑπὸ
τοῦ θεοῦ γίνεται· ἡ δὲ νόησις ὑπὸ τοῦ νοῦ, ἀδελφὴ οὖσα τοῦ λόγου, καὶ ὄρ-
γανα ἀλλήλων. οὔτε γὰρ ὁ λόγος ἐκφωνεῖται χωρὶς νοήσεως, οὔτε ἡ νόη-
2 σις φαίνεται χωρὶς λόγου. [2] Ἡ οὖν αἴσθησις καὶ ἡ νόησις ἀμφότεραι εἰς
τὸν ἄνθρωπον συνεπεισρέουσιν ἀλλήλαις, ὥσπερ συμπεπλεγμέναι.
οὔτε γὰρ χωρὶς αἰσθήσεως † δυνατὸν νοῆσαι, οὔτε αἰσθέσθαι χωρὶς νοή- † δύνα
σεως. δυνατὸν δὲ νόησιν χωρὶς αἰσθήσεως νοεῖσθαι, καθάπερ οἱ διὰ τῶν ται
ὀνείρων φανταζόμενοι ὁράματα· ἐμοὶ δὲ δοκεῖ τῷ γεγονέναι ἀμφοτέ-
ρας τὰς ἐνεργείας ἐν τῇ τῶν ὀνείρων ὄψει. ἐγρηγορόσι γὰρ † αἴσθησις, διή- † αἰσθή
ρηταί γε εἴς τε τὸ σῶμα, καὶ εἰς τὴν ψυχήν· καὶ ὅταν ἀμφότερα τὰ μέρη σει,
τῆς αἰσθήσεως πρὸς ἄλληλα συμφωνήσῃ, τότε τὴν νόησιν ἐκφωνεῖσθαι,
3 ἀποκυηθεῖσαν ὑπὸ τοῦ νοῦ. [3] Ὁ γὰρ νοῦς κύει πάντα τὰ νοήματα· ἀγαθὰ
μὲν, ὅταν ὑπὸ τοῦ θεοῦ τὰ σπέρματα λάβῃ· ἐναντία δὲ, ὅταν ὑπό τινος τῶν
δαιμονίων, μηδενὸς μέρους τοῦ κόσμου κενοῦ ὄντος δαίμονος, τῷ ὑπὸ τοῦ
θεοῦ πεφωτισμένῳ δαίμονι, ὅστις ὑπεισελθὼν, ἔσπειρε τῆς ἰδίας
ἐνεργείας τὸ σπέρμα, καὶ ἐκύησεν ὁ νοῦς τὸ σπαρὲν, μοιχείας,
φόνους, πατροτυπίας, ἱεροσυλίας, ἀσεβείας, ἀγχόνας, κατὰ
κρημνῶν καταφορὰς, καὶ ἄλλα πάντα ὅσα δαιμόνων ἔργα.
4 [4] Τοῦ γὰρ θεοῦ τὰ σπέρματα ὀλίγα, μεγάλα μὲν, καὶ καλὰ, καὶ
ἀγαθὰ, ἀρετὴ, καὶ σωφροσύνη, καὶ εὐσέβεια· εὐσέβεια δέ ἐστι θεοῦ γνῶ-

gnitio. Quem qui cognouit oppletus omnium bonorum fa-
ctus,notiones Diuinas ſcaturit,ac non vulgi intelligentijs ſimi
les. Quocirca qui cognitionem colunt, nec vulgo grati ſunt,
nec ipſis vulgus,deſipere cēſentur,& riſus damnantur:odio &
contemptui ſunt:& quandoq; necantur. Nequitiam enim hic
habitaturam diximus,ſuū ipſius locum degentem.eius nimirū
regio terra eſt,non mundus,vt nonnullis placet impie loquen-
tibus.Dei quidē cultor omnia ſuffert, cognitionem percipiēs.
Tali nāq; omnia,quantumlibet alijs mala,bona ſunt. Et cū in-
ſidijs petitur,omnia ad cognitionem cōfert: & ſolus mala effi-
cit bona. [5] Rurſus ad ſermonē ſenſus redeo.Humanū eſt igitur, 5
hominem cōmunicare ſenſum intelligentiæ:nō tamen omnis
homo,vt prætuli,fruitur intelligentia.Sed alius quidem mate-
rialis,alius vero eſſentiæ cultor. Materialis enim,malitiæ iucū-
bens,vt effatus ſum,a Dæmonib. ſemen intelligentiæ ſuſcipit.
Qui autem cum bono ſecundū eſſentiam ſumunt, a Deo ſalui
fiunt. Quandoquidē Deus omnium operator cum fabrefacit
omnia,efficit quidē ſibi ſimilia. Vt autem hæc bona facta ſunt,
in effectus vſum ſegregat. Mundana quidem latio,generatio-
nes terens,qualitates producit,alias quidem fœdans nequitia,
alias autem bono purificās.Nam mundus,o Æſculapi,ſenſum
proprium & intelligentiam habet,non humanæ ſimilem, nec
tam variam,alias autem eximiorem ac ſimpliciorem. [6] Mundi 6
quidem ſenſus & intelligentia vna eſt:omnia ſcilicet facit,& in
ſeipſum deſtruit,inſtrumentum quippe diuini nutus, & reuera
inſtrumenti efficacia preditum: vt omnia ſemina ſuſcipiens a
Deo apud ſe,conſeruans in ſeipſo,omnia palam efficiat: & diſ-
ſoluens omnia reſtauret.Quocirca his diſſolutis conſtitutione
renouationem velox inſtar boni vitæ agricolæ præſtet.Nō eſt
quod non vita donet: dum fertur autem omnia viua efficit,ac
pariter locus & operator eſt vitæ. [7] Corpora autem in mate- 7
ria diſcrepant:Alia quidem ſunt ex terra,quædā vero ex aqua,
alia autem ex aere, aliqua demum ex igne.omnia autem ſunt
compoſita,quædam plus,quædam autem ſimplicius: plus qui-
dem grauiora,minus vero leuiora. Velocitas autem lationis e-
ius,varietatem qualium in generationib. operatur. Aura enim

σις, ὃν ὁ ἐπιγνοὺς πλήρης γενόμενος πάντων τῶν ἀγαθῶν, τὰς
νοήσεις θείας ἴσχει, καὶ οὐ τοῖς πολλοῖς ὁμοίας. διὰ τοῦτο οἱ ἐν
γνώσει ὄντες, οὔτε τοῖς πολλοῖς ἀρέσκουσιν, οὔτε οἱ πολλοὶ αὐ-
τοῖς· μεμηνέναι δὲ δοκοῦσι, καὶ γέλωτα ὀφλισκάνουσι, μισού-
μενοί τε, καὶ καταφρονούμενοι, καὶ τάχα που καὶ φονευόμενοι.
τὴν γὰρ κακίαν ἐνθάδε δεῖν οἰκεῖν εἴπομεν τῷ ἑαυτῆς χωρίῳ
οὖσαν. χωρίον γὰρ αὐτῆς ἡ γῆ, οὐχ ὁ κόσμος, ὡς ἔνιοί ποτε ἐροῦ-
σι βλασφημοῦντες. ὁ μέν τοι θεοσεβὴς, πάντα ὑποστήσει αἰσθό-
μενος τῆς γνώσεως: πάντα γὰρ τῷ τοιούτῳ, κἂν τοῖς ἄλλοις τὰ
κακὰ, ἀγαθά ἐστι· καὶ ἐπιβουλευόμενος, πάντα ἀναφέρει εἰς
5 τὴν γνῶσιν. καὶ τὰ κακὰ μόνος ἀγαθοποιεῖ. [5] Ἐπάνειμι
πάλιν ἐπὶ τὸν αἰσθήσεως λόγον. ἀνθρώπινον οὖν τὸ κοινωνῆσαι
† ἀνθρώπῳ αἴσθησιν νοήσει. οὐ πᾶς δὲ ἄνθρωπος ὡς προεῖ- †ἄνθρω
πον, ἀπολαύει τῆς νοήσεως, ἀλλ' ὁ μὲν ὑλικὸς, ὁ δὲ οὐσιώδης. πον νο-
ὁ μὲν γὰρ μετὰ κακίας ὑλικὸς, ὡς ἔφην, ἀπὸ τῶν δαιμόνων τὸ ήσει.
σπέρμα τῆς νοήσεως ἴσχει· οἱ δὲ μετὰ τοῦ ἀγαθοῦ οὐσιωδῶς,
ὑπὸ τοῦ θεοῦ σωζόμενοι. ὁ μὲν γὰρ θεὸς πάντων δημιουργὸς, δη-
μιουργῶν πάντα, ποιεῖ μὲν ἑαυτῷ ὅμοια, ταῦτα δ' ἀγαθὰ γε-
νόμενα, ἐν τῇ χρήσει τῆς ἐνεργείας ἀφορᾷ· ἡ γὰρ κοσμικὴ φο-
ρὰ τρίβουσα τὰς γενέσεις, ποιὰς ποιεῖ, τὰς μὲν ῥυπαίνουσα τῇ
κακίᾳ, τὰς δὲ καθαίρουσα τῷ ἀγαθῷ. καὶ γὰρ ὁ κόσμος, ὦ
Ἀσκληπιὲ, αἴσθησιν ἰδίαν καὶ † νόησιν ἔχει, οὐχ ὁμοίαν τῇ ἀν- †κίνη-
θρωπείᾳ, οὐδὲ ὡς ποικίλην, ἄλλως δὲ κρείττω καὶ ἁπλουστέ- σιν
6 ραν. [6] Ἡ γὰρ αἴσθησις, καὶ νόησις τοῦ κόσμου, μία ἐστὶ τῷ πάν-
τα ποιεῖν, καὶ εἰς ἑαυτὴν ἀποποιεῖν, ὄργανον τῆς τοῦ θεοῦ βου-
λήσεως, καὶ ὄντως ὀργανοποιηθὲν, ἵνα πάντα παρ' ἑαυτῷ ἀπὸ
τοῦ θεοῦ λαβὼν τὰ σπέρματα φυλάττων ἐν ἑαυτῷ, πάντα ποιῇ
ἐναργῶς, καὶ διαλύων πάντα ἀνανεοῖ· καὶ διὰ τοῦτο λυθέντα,
ὥσπερ ἀγαθὸς ζωῆς γεωργὸς, τῇ καταβολῇ ἀνανέωσιν αὐτοῖς
φερόμενος παρέχει. οὐκ ἔστιν ὃ μὴ ζωογονεῖ. φερόμενος δὲ πάν-
τα ζωοποιεῖ· καὶ ὁμοῦ τόπος ἐστὶ καὶ δημιουργὸς ζωῆς.

7 [7] Τὰ δὲ σώματα ἀπὸ ὕλης ἐν διαφορᾷ. τὰ μὲν γάρ ἐστιν ἐκ
γῆς, τὰ δὲ ἐξ ὕδατος, τὰ δὲ ἐξ ἀέρος, τὰ δὲ ἐκ πυρός· πάν-
τα δέ ἐστι σύνθετα, καὶ τὰ μὲν μᾶλλον, τὰ δὲ ἁπλούστερα· μᾶλ-
λον μὲν τὰ βαρύτερα, ἧττον δὲ τὰ κουφότερα. τὸ δὲ τάχος αὐτοῦ
τῆς φορᾶς, τὴν ποικιλίαν τῶν ποιῶν γενέσεων ἐργάζεται. πνοὴ γὰρ

frequentiſſima exiſtens, corporibus qualitates porrigit, cum
vna vitæ plenitudine. [8] Pater itaque mundi Deus, mundus 8
vero eorum quę in mundo ſunt. Et mundus quidem Dei filius:
quæ autem in mundo a mundo ſunt. Et iure mundus nuncu-
patur. Omnia namq; varietate generationis ornat,& aſſiduita-
te vitæ, non defatigata operatione, neceſſitatis velocitate, ele-
mentorum compoſitione, & genitorum ordine. Ipſe itaque
mundus neceſſario & proprie nominatur. Omnium igitur ani
malium ſenſus & intelligẽtias ab internis inducit, inſpirans ab
amplectente ſe. Mundus vero ſemel accepit, ſimul cum fieret:
vti a Deo accepit, habet. [9] Deus autem non, vt aliquibus pla- 9
cet, eſt ſenſus & intelligentiæ expers. Nam ſuperſtitione ex-
cæcati inique loquuntur. Omnia nimirum quæcunque ſunt, o
Æſculapi, in Deo ſunt, a Deo genita & inde pendentia: alia per
corpora operantia: partim per animalem eſſentiam mouẽtia:
quædam autem per ſpiritum vitam præſtantia: alia vero de-
feſſa ſuſcipiẽtia, & optimo iure. Quinetiam dicam ipſum talia
non habere, ac verum definiens, ipſe omnia eſt, nõ extrinſecus
aſciſcens illa, ſed extrorſum ea porrigens. Et hoc eſt Dei ſen-
ſus & intelligentia, omnia ſcilicet ſemper mouere, & nuſquam
tempus erit, quo depereat quicquam eorum, quæ ſunt. Cum
autem dico eorum quæ ſunt Dei dico. Quæ enim ſunt, Deus
habet, & extra ipſum nihil, & ipſe extra nihil. [10] Hæc, o Æſcu-
lapi, intelligenti tibi vera aparebunt, ignoranti autem incredi- 10
bilia. Intelligere namque credere eſt: non credere autem non
intelligere. Sermo etenim meus ad veritatem vſque peruenit.
Mens autem magna, & a ſermone quadantenus deducta, ad
veritatem vſque peruenire debet: omnia autẽ animo voluens,
& ijs quæ a ſermone interpretata ſunt conſona reperiens, cre-
didit, & pulchræ fidei acquieuit. Illis igitur quæ de Deo dicta
ſunt intelligentibus, fide digna, non intelligentibus vero indi-
gna fide erunt. Hæc & tanta de intelligẽtia & ſenſu dicta ſunto.

οὖσα πυκνοτάτη, περιτείνει τὰ ποιὰ τοῖς σώμασι μετὰ ἑνὸς πλη-
8 ρώματος τῆς ζωῆς. 8 Πατὴρ μὲν οὖν ὁ θεὸς τοῦ κόσμου. ὁ δὲ
κόσμος τῶν ἐν τῷ κόσμῳ. καὶ ὁ μὲν κόσμος, υἱὸς τοῦ θεοῦ, τὰ
δὲ ἐν τῷ κόσμῳ, ὑπὸ τοῦ κόσμου. καὶ εἰκότως κόσμος κέκλη-
ται. κοσμεῖ γὰρ τὰ πάντα τῇ ποικιλίᾳ τῆς γενέσεως, καὶ τῷ ἀδια-
λείπτῳ τῆς ζωῆς, καὶ ἀκοπιάστῳ τῆς ἐνεργείας, καὶ τῷ τάχει τῆς
ἀνάγκης, καὶ τῇ † συστάσει τῶν στοιχείων, καὶ τῇ τάξει τῶν γινο- † συσκιάσει.
μένων. ὁ αὐτὸς οὖν κόσμος, καὶ ἀναγκαίως, καὶ οἰκείως καλοῖτο. πάν-
των οὖν τῶν ζώων ἡ αἴσθησις, καὶ νόησις ἔξωθεν ἐπεισέρχεται, εἰσ-
πνέουσα ὑπὸ τοῦ περιέχοντος· ὁ δὲ κόσμος ἅπαξ λαβὼν ἅμα
9 τῷ γενέσθαι, ὑπὸ τοῦ θεοῦ λαβὼν ἔχει. 9 Ο δὲ θεὸς, οὐχ ὥσ-
περ ἐνίοις δόξει, ἀναίσθητός ἐστι, καὶ ἀνόητος. ὑπὸ γὰρ δεισιδαιμο-
νίας βλασφημοῦσι. πάντα γὰρ ὅσα ἐστὶν, ὦ Ἀσκληπιὲ, ταῦτα ἐν
τῷ θεῷ ἐστὶ, καὶ ὑπὸ τοῦ θεοῦ γινόμενα, καὶ ἐκεῖθεν ἠρτημένα· τὰ
μὲν διὰ τῶν σωμάτων ἐνεργοῦντα, τὰ δὲ διὰ οὐσίας ψυχικῆς κι-
νοῦντα, τὰ δὲ διὰ πνεύματος ζωοποιοῦντα, τὰ δὲ τὰ κεκμη-
κότα ὑποδεχόμενα. καὶ εἰκότως· μᾶλλον δὲ λέγω ὅτι οὐκ αὐτὸς
αὐτὰ ἔχει, ἀλλὰ τὸ ἀληθὲς ἀποφαίνομαι, αὐτὸς ἅπαντά ἐστιν· οὐκ
ἔξωθεν αὐτὰ προσλαμβάνων, ἔξω δὲ ἐπιδιδούς. καὶ τοῦτό ἐστιν, ἡ
αἴσθησις καὶ νόησις τοῦ θεοῦ, τὸ τὰ πάντα ἀεὶ κινεῖν· καὶ οὐκ ἔσται
ποτὲ χρόνος, ὅτε ἀπολειφθήσεταί τι τῶν ὄντων· ὅταν δὲ λέγω
τῶν ὄντων, λέγω τοῦ θεοῦ. τὰ γὰρ ὄντα ὁ θεὸς ἔχει, καὶ οὔτε αὐ-
10 τοῦ οὐδὲν ἐκτὸς, οὔτε αὐτὸς οὐδενός. 10 Ταῦτά σοι Ἀσκληπιὲ, ἐν-
νοοῦντι ἀληθῆ δόξειεν, ἀγνοοῦντι δὲ ἄπιστα. τὸ γὰρ νοῆσαί ἐστι τὸ
πιστεῦσαι· τὸ ἀπιστῆσαι δὲ τὸ μὴ νοῆσαι. ὁ γὰρ λόγος μοι φθάνει
μέχρι τῆς ἀληθείας· ὁ δὲ νοῦς μέγας ἐστὶ, καὶ ὑπὸ τοῦ λόγου μέ-
χρι τινὸς ὁδηγηθεὶς, φθάνειν ἔχει τῆς ἀληθείας· καὶ περινοήσας
τὰ πάντα, καὶ εὑρὼν σύμφωνα τοῖς ὑπὸ τοῦ λόγου ἑρμηνευθεῖσιν
ἐπίστευσε, καὶ τῇ καλῇ πίστει ἐπανεπαύσατο. τοῖς οὖν τὰ προειρη-
μένα † ἐπὶ τοῦ θεοῦ νοήσασι μὲν πιστά· μὴ νοήσασι δὲ ἄπιστα. ταῦ- † ὑπὸ
τα καὶ τοσαῦτα περὶ νοήσεως καὶ αἰσθήσεως λεγέσθω.

MERCVRII TRISMEGISTI, CLAVIS,

CAPVT DECIMVM.

HEſternam,o Æſculapi, orationem tibi cõſe- 1
craui: hodiernã autem æquum eſt Tat filio
dicare. Quãdoquidem ſingularium oratio-
num cum illo collatarum eſt compendium.
Deus igitur & Pater & Bonum, o Tat, ean-
dem naturã habent: quinimo & efficatiam.
Ea nãq; naturæ & incremẽti eſt denomina-
tio, quæ circa mutabilia,mobilia & immobilia verſatur: quod
eſt diuina & humana,quæ ipſe eſſe vult. Alibi autẽ diuinorum
& humanorum efficatiã,velut ac aliorum edocuimus, quæ de
hoc intelligenda ſunt. [2] Huius nãq; efficacia voluntas eſt,eius 2
vero eſſentia,velle omnia eſſe.Quid enim eſt Deus & Pater &
Bonum,quam omnium eſſe non adhuc exiſtentiũ? Quinetiam
ſubſtantia ipſa eorum quæ ſunt, hoc Deus eſt, hoc Pater,hoc
Bonum:cui reliquorum nihil additur. Mundus quidem ac Sol
eorũ quæ iuxta cõmunionem pater eſt: nõ attamen animalib.
recte boni cauſa eſt,nec viuẽdi. Quod ſi ita ſe hoc habeat,om-
nino ſane a boni voluntate adigitur,ſine qua neq; eſſe neq; fieri
quicquam poteſt. [3] Nimirum liberorũ cauſa pater eſt,tũ ſemi- 3
nis tum etiã alimoniæ, per Solem orexim boni ſuſcipiens. Nã
Bonum eſt,quod efficiendi cõpos eſt.Hoc autem alij cuiquam
innatũ eſſe non poteſt, quã vnico illi,qui nihil recipiens omnia
vult eſſe.Non equidem aio ei qui efficit,o Tat,nam faciens mu
tilus eſt multo tempore,in quo nunc quidem facit, nunc vero
non facit,& qualitate & quantitate, quandoq; etenim quanta
& qualia,oppoſita vero nõnumquam.Deus autem,& pater &
bonũ eſt,eo quod omnia ſit. [4] Hæc igitur ita ei qui videre po- 4
teſt eluceſcẽt,nam & hoc eſſe vult, eſtque illud,maxime vero
ſibiipſi.Alia quippe cuncta propter hunc ſunt. Boni nãq; pro-
prium eſt Bonum cognoſci, o Tat. Satiaſti nos,o Pater,bono
& pulcherrimo aſpectu,& pene ſanctior effectus eſt meæ mẽ-
tis oculus,præ tali ſpectaculo. Non ẽm velut Solis radius igni-

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ, ΚΛΕΙΣ.

1 ΤΟΝ χθὲς λόγον, ὦ Ἀσκληπιὲ, σοὶ ἀνέθη-
κα· τὸν δὲ σήμερον, δίκαιόν ἐστι τῷ Τὰτ
ἀναθεῖναι· ἐπεὶ καὶ τῶν ἐνικῶν λόγων τῶν
πρὸς αὐτὸν λελαλημένων, ἐστὶν ἐπιτομή. ὁ
μὲν οὖν θεὸς καὶ πατὴρ καὶ τὸ ἀγαθὸν, ὦ
Τὰτ, τὴν αὐτὴν ἔχει φύσιν, μᾶλλον δὲ καὶ
ἐνέργειαν. ἡ μὲν γὰρ φύσεως καὶ αὐξήσεώς
ἐστι προσηγορεία· ἅπερ ἐστὶ περὶ τὰ μεταβλητὰ καὶ κινητὰ,
καὶ ἀκίνητα, τουτέστι τὰ θεῖά τε καὶ ἀνθρώπεια, ὧν αὐτὸς βού-
λεται εἶναι. ἀλλαχοῦ δὲ ἐνέργειαν, καθὼς καὶ ἐπὶ τῶν ἄλλων,
ἐδιδάξαμεν θείων τε καὶ ἀνθρωπίνων, ἃ δεῖ νοεῖν ἐπὶ τούτου.
2 [2] Ἡ γὰρ τούτου ἐνέργεια, ἡ θέλησίς ἐστι· καὶ ἡ οὐσία αὐτοῦ, τὸ
θέλειν πάντα εἶναι. τί γάρ ἐστι θεὸς, καὶ πατὴρ, καὶ τὸ ἀγαθὸν, ἢ
τὸ τῶν πάντων εἶναι οὐκ ἔτι ὄντων· ἀλλὰ ὕπαρξις αὐτὴ τῶν ὄντων·
τοῦτο ὁ θεὸς, τοῦτο ὁ πατὴρ, τοῦτο τὸ ἀγαθὸν, ᾧ μηδὲν πρόσεστι τῶν
ἄλλων. ὁ μὲν γὰρ κόσμος, καὶ ὁ ἥλιος, τῶν κατὰ μετουσίαν καὶ αὐτὸς
πατήρ· οὐκ ἔτι δὲ τοῦ ἀγαθοῦ τοῖς ζώοις ἴσως αἴτιός ἐστιν, οὐδὲ τοῦ
ζῆν. εἰ δὲ τοῦτο οὕτως ἔχει, πάντως μέντοι ἀναγκαζόμενος ὑπὸ τοῦ
ἀγαθοῦ θελήματος, οὗ χωρὶς, οὔτε εἶναι, οὔτε γενέσθαι ἔσται δυνα-
3 τόν. [3] Αἴτιος δὲ ὁ πατὴρ τῶν τέκνων, καὶ τῆς σπορᾶς, καὶ τῆς
τροφῆς τὴν ὄρεξιν λαβὼν τοῦ ἀγαθοῦ διὰ τοῦ ἡλίου. τὸ γὰρ ἀγα-
θόν ἐστι τὸ ποιητικόν. τοῦτο δὲ οὐ δυνατὸν ἐγγενέσθαι ἄλλῳ τινὶ, ἢ
μόνῳ ἐκείνῳ, τῷ μηδὲν λαμβάνοντι, πάντα δὲ θέλοντι εἶναι. οὐ
γὰρ ἐρῶ, ὦ Τὰτ, ποιοῦντι. ὁ γὰρ ποιῶν ἐλλιπής ἐστι πολλῷ χρό-
νῳ, ἐν ᾧ ὁτὲ μὲν ποιεῖ, ὁτὲ δὲ οὐ ποιεῖ, καὶ ποιότητος καὶ ποσό-
τητος. ποτὲ μὲν γὰρ πόσα καὶ ποῖα, ὁτὲ δὲ τὰ ἐναντία. ὁ δὲ θεὸς
4 καὶ πατὴρ καὶ τὸ ἀγαθὸν, τῷ εἶναι τὰ πάντα. [4] Οὕτως ἄρα ταῦτα τῷ
δυναμένῳ ἰδεῖν. καὶ γὰρ τοῦτο θέλει εἶναι, καὶ ἔστι καὶ αὐτὸ, μάλιστα δὲ αὐτῷ.
καὶ γὰρ τὰ ἄλλα πάντα διὰ τοῦτόν ἐστιν. ἴδιον γὰρ τοῦ ἀγαθοῦ τὸ γνωρίζε-
σθαι ἐστὶ τὸ ἀγαθὸν, ὦ Τάτ. Ἐπλήρωσας ἡμᾶς, ὦ πάτερ, τῆς ἀγαθῆς, καὶ
καλλίστης θέας· καὶ ὀλίγου δεῖν ἐσεβάσθη μου ὁ τοῦ νοῦ ὀφθαλμὸς
ὑπὸ τῆς τοιαύτης θέας. οὐ γὰρ ὥσπερ ἡ τοῦ ἡλίου ἀκτὶς πυρώδης

tus exiſtẽs,illuſtrat & oculos perſtringit:ita & boni ſpeculatio.
Quinimo econtra irradiat & adeo,quoad ſuſcipere quis poteſt
influxum ſplendoris intelligibilis. Eſt nãq; acidior in attingen-
do,innocua vero & omnis immortalitatis oppleta. [5] Qui plus 5
ſpeculationis allicere poſſunt, ſæpe etiã corpore in pulcherri-
mum hunc viſum demulcentur.Cuius Cælus ac Saturnus pro
genitores noſtri participes effecti ſunt. Vtinã & nos,o Pater.
Vtinam ſane,o fili. Nũc etiamnum remittimur ad viſionem,ac
ita pandere non poſſumus noſtræ mentis oculos, & illius Boni
pulchritudinem ſpeculari, quæ citra corruptionẽ & cõprehen
ſionem extat.Tum equidẽ eam intueberis,cum nihil de ipſa di
cendum habeas. Eius nãq; cognitio & ſpeculatio, ſilentiũ eſt,
& omniũ ſenſuum abrogatio. [6] Neq; enim aliud quidpiã co- 6
gnoſcere qui hoc cognouit: nec aliud quicquam ſpeculari po-
teſt,qui hoc ſpeculatus eſt: neq; de alio quoquam audire : nec
vniuerſum corpus mouere. Nimirũ omnes corporis ſenſus &
motus corripiens quieſcit.Colluſtrans etenim omnẽ mentem
ac omnem animã, illuſtrat & abſtrahit a corpore:& omnem ip
ſum in eſſentiam conuertit. Non enim,o fili, in Deum refferri
poteſt anima,cõſtituta in corpore hominis, Boni pulchritudi-
nem ſpeculata in Deum ſe recipiens. [7] Quî id ais,o Pater? De 7
omni anima ſeparabili,o fili.Mutationes autem animæ ſepara-
bilis rurſus quonã modo fiunt? Num in generalib. percepiſti?
Quod ab vna ſcilicet vniuerſi, animæ omnes exiſtunt. hæ qui-
dem qua in omni mundo velut diſtributæ vagantur. Harum
proinde animarũ multæ mutationes, partim in proſperiorem,
partim in contrarium ſtatum.Quædã enim repentes in aquati-
les cõmutantur, aquatiles autẽ in terreſtres, terreſtres vero in
volucres, æreæ autẽ in homines,humanæ vero immortalitatẽ
habentes in Dæmones vertuntur, ipſi vero ita in Deorum nõ
vagantium cœtu exultant. Cœtus autẽ Deorũ duo ſunt. Qui-
dam enim ſunt errantium: Quidã vero non errantium.Et ea eſt
animę abſolutiſſima gloria. [8] Anima hominis corpus ingreſſa, 8
ſi nequam manſerit,neq; immortalitatem experitur, neq; bo-
ni fit particeps: quinetiã retrogradiẽs per viam reuertitur quæ
ducit ad reptilia,& hoc animæ peruerſæ iudicatũ eſt.Nam ani-

οὖσα καταυγάζει καὶ μύειν ποιεῖ τοὺς ὀφθαλμούς, οὕτω καὶ ἡ τοῦ
ἀγαθοῦ θέα· τοὐναντίον δὲ ἐκλάμπει, καὶ ἐπὶ τοσοῦτον, ἐφ' ὅσον
δύναται ὁ δυνάμενος δέξασθαι τὴν ἐπεισροὴν τῆς νοητῆς λαμπη-
δόνος. ὀξυτέρα μὲν γάρ ἐστιν εἰς τὸ καθικνεῖσθαι. ἀβλαβὴς δὲ καὶ
5 πάσης ἀθανασίας ἀνάπλεως ἦν. [5] Οἱ δυνάμενοι πλέον τι ἀρύ-
σασθαι τῆς θέας, κατακοιμίζονται πολλάκις δὲ ὑπὸ τοῦ σώμα-
τος εἰς τὴν καλλίστην ὄψιν, ὥσπερ Οὐρανὸς καὶ Κρόνος οἱ ἡμέτε-
ροι πρόγονοι ἐκτετυχήκασιν. Εἴθε καὶ ἡμεῖς, ὦ πάτερ. Εἴθε
γάρ, ὦ τέκνον· νῦν δὲ ἔτι ἀτονοῦμεν πρὸς τὴν ὄψιν, καὶ οὕτως
οὐκ ἰσχύομεν ἀναπετάσαι ἡμῶν τοὺς τοῦ νοῦ ὀφθαλμούς, καὶ θεά-
σασθαι τὸ κάλλος τοῦ ἀγαθοῦ ἐκείνου τὸ ἄφθαρτον, τὸ ἄληπτον.
τότε γὰρ αὐτὸ ὄψει, ὅταν μηδὲν περὶ αὐτοῦ ἔχῃς εἰπεῖν. ἡ γὰρ γνῶ-
σις αὐτοῦ καὶ † θέα σιωπή ἐστι καὶ καταργία πασῶν τῶν αἰ- † θεία
6 σθήσεων. [6] Οὔτε γὰρ ἄλλο τι δύναται νοῆσαι ὁ τοῦτο νοήσας,
οὔτε ἄλλο τι θεάσασθαι ὁ τοῦτο θεασάμενος, οὔτε περὶ † ἄλλου † ἀν-
τινὸς ἀκοῦσαι, οὔτε τὸ σύνολον τὸ σῶμα κινῆσαι. πασῶν γὰρ τῶν θρώπου
σωματικῶν αἰσθήσεών τε καὶ κινήσεων ἐπιλαθόμενος, ἀτρεμεῖ.
περιλάμψαν δὲ πάντα τὸν νοῦν, καὶ τὴν ὅλην ψυχὴν, ἀναλάμ-
πει καὶ ἀνέλκει διὰ τοῦ σώματος, καὶ ὅλον αὐτὸν εἰς οὐσίαν με-
ταβάλλει. ἀδύνατον γάρ, ὦ τέκνον ψυχὴν ἀποθεωθῆναι ἐν σώ-
ματι ἀνθρώπου, θεασαμένην τοῦ ἀγαθοῦ κάλλος τῷ ἀποθεω-
7 θῆναι. [7] Πῶς λέγεις, ὦ πάτερ. Πάσης ψυχῆς, ὦ τέκνον, διαι-
ρετῆς. Μεταβολαὶ δὲ πῶς πάλιν διαιρετῆς. Οὐκ ἤκουσας ἐν
τοῖς γενικοῖς, ὅτι ἀπὸ μιᾶς ψυχῆς τῆς τοῦ παντὸς πᾶσαι αἱ ψυ-
χαί εἰσιν, αἵ τε ἐν τῷ παντὶ κόσμῳ κυλινδούμεναι, ὥσπερ ἀπο-
νενεμημέναι; τούτων τοίνυν τῶν ψυχῶν, πολλαὶ μεταβολαί. τῶν
μὲν, ἐπὶ τὸ εὐτυχέστερον· τῶν δὲ, ἐπὶ τὸ ἐναντίον. αἱ μὲν οὖν
ἑρπετώδεις οὖσαι, εἰς ἔνυδρα μεταβάλλονται· αἱ δὲ τῶν ἐνύδρων
εἰς χερσαῖα, αἱ δὲ χερσαῖαι εἰς πτηνά· αἱ δὲ ἀέριαι εἰς ἀνθρώ-
πους· αἱ δὲ ἀνθρώπειαι ἀθανασίας † μετέχουσαι, εἰς δαίμονας † ἔχου-
μεταβάλλονται. † οἱ δ' οὕτως εἰς τὸν τῶν θεῶν χορὸν ἀπλανῶν σαι,
χορεύουσι· χοροὶ δὲ δύο θεῶν, ὁ μὲν τῶν πλανωμένων, ὁ δὲ τῶν ἀπλα- † εἰ
8 νῶν· καὶ αὕτη ψηχῆς ἡ τελειοτάτη δόξα. [8] Ψυχὴ εἰς ἀνθρώπου σῶ-
μα εἰσελθοῦσα, ἐὰν κακὴ μείνῃ, οὔτε γεύεται ἀθανασίας, οὔτε τοῦ
ἀγαθοῦ μεταλαμβάνει· παλίσσυρτος δὲ τὴν ὁδὸν ὑποστρέφει τὴν
εἰς τὰ ἑρπετά, καὶ αὕτη καταδίκη ψυχῆς κακῆς· κακία δὲ ψυ-

mæ malitia eſt ignoratio. Anima etenim nihil intelligens eorũ
quæ ſunt, neq; eorum naturam, nec Bonũ, cæcutiens in paſſio-
nes corporis impingit. Infœlix autẽ anima, ſeipſam ignorans,
corporib. monſtroſis & flagitioſis ſeruit, corpus velut ſarcinam
baiulans, neq; imperans, ſed parens. Hæc eſt animæ nequitia.
[9] E diuerſo autẽ, animæ virtus eſt cognitio. Nimirum qui intel 9
ligit, bonus, pius, ac propemodũ Diuinus eſt. Sed quis eſt hic, o
Pater? Qui nec loquax eſt, nec loquaces audit. qui nãq; duob.
incumbit, verbis & auditui, vmbram impugnat. Deus enim Pa-
ter & Bonum neq; dicitur, neq; auditur. Hoc autẽ ita ſe haben
te, in omnib. ijs, quæ ſunt, ſenſus inſunt: cum ſine ipſo eſſe non
poſſint. Cognitio autẽ a ſenſu ſupramodum diſcrepat. Nã ſen-
ſus eſt quidem ſuperãtis, cognitio vero ſcientiæ finis. [10] Scien- 10
tia Dei donum eſt. Omnis etenim ſciẽtia incorporea eſt, velut
inſtrumento mente vtens, mens vero corpore. Vtraq; igitur in
corpora cedunt, cum ea quæ ſunt intellectus, tum quę materia
cõſtant. Ex oppoſitione nãq; & cõtrarietate decet omnia cõ-
ſtare. Hocque ſecus eſſe non poteſt. Quis itaq; materialis iſte
Deus? Pulcher mundus, non autẽ bonus eſt. materia enim con
ſtat, & nullo negotio patitur. Primus tamen patibilium, ſecun-
dus autẽ eorum quæ ſunt, egenus per ſe: Ipſe quidem aliquan-
do genitus, ſemper autẽ exiſtens, exiſtens autem in generatio-
ne, ac ſemper genitus. Generatio qualiũ & quantorũ eſt, quip-
pe mobilis. Omnis nãq; materiæ motio eſt generatio. [11] Intel- 11
ligibilis autẽ quies, materialem motum hac arte mouet. Quan-
doquidem mũdus ſphęra eſt, quod caput denotat: ſuper caput
autem nihil materia conſtat. Velut neq; ſubter pedes quidquã
intelligibile. Quinimo omne materia cõſtat. Mens autẽ caput
ipſa ſphæræ ritu mouetur, hoc eſt more capitis. Quæcunq; igi-
tur aſſidẽt mẽbranæ huius capitis in qua eſt anima, immortalia
natura ſunt, ac veluti in anima corpus factũ ſit, & refertam cor-
pore animam habentia. Quæ autẽ procul a membrana, in qua
plus habetur animæ, degũt, corpus ſunt. Totũ vero eſt animal:
ita vt totum ex materiali & intelligibili conſtet. [12] Et mundus 12
quidem primũ, homo vero ſecundum a mũdo animal. Primus
autẽ mortalium cæterorum animãtium animæ cõpos eſt. Nec

χῆς ἐστὶν ἡ ἀγνωσία. ψυχὴ γὰρ μηδὲν γνοῦσα τῶν ὄντων, μη-
δὲ τὴν τούτων φύσιν, μηδὲ τὸ ἀγαθὸν, τυφλώττουσα ἐντινάσσει
τοῖς πάθεσι τοῖς σωματικοῖς· καὶ ἡ κακοδαίμων ἀγνοήσασα ἑ-
αυτὴν, δουλεύει σώμασιν ἀλλοκότοις, καὶ μοχθηροῖς, ὥσπερ
φορτίον βαστάζουσα τὸ σῶμα, καὶ οὐκ ἄρχουσα, ἀλλ' ἀρχομέ-
9 νη· αὕτη κακία ψυχῆς. [9] Τοὐναντίον δὲ ἀρετὴ ψυχῆς, γνῶ-
σις. ὁ γὰρ γνοὺς, καὶ ἀγαθὸς, καὶ εὐσεβὴς, καὶ ἤδη θεῖος. Τίς
δὲ ἐστὶν οὗτος, ὦ πάτερ; Ο μὴ πολλὰ λαλῶν, μηδὲ πολ-
λὰ ἀκούων. ὁ γὰρ δύο, λόγοις σχολάζων καὶ ἀκοαῖς, ὦ τέκνον,
σκιαμαχεῖ. ὁ γὰρ θεὸς, καὶ πατὴρ, καὶ τὸ ἀγαθὸν, οὔτε λέγεται,
οὔτε ἀκούεται. τούτου δὲ οὕτως ἔχοντος, ἐν πᾶσι τοῖς οὖσιν αἱ
αἰσθήσεις εἰσὶ, διὰ τὸ μὴ δύνασθαι εἶναι χωρὶς αὐτοῦ. γνῶσις
δὲ αἰσθήσεως πολὺ διαφέρει. αἴσθησις μὲν γὰρ γίνεται τοῦ ἐπι-
10 κρατοῦντος· γνῶσις δέ ἐστιν ἐπιστήμης τὸ τέλος. [10] Επι-
στήμη δὲ, δῶρον τοῦ θεοῦ. πᾶσα γὰρ ἐπιστήμη ἀσώματος,
ὀργάνῳ χρωμένη αὐτῷ τῷ νοΐ· ὁ δὲ νοῦς τῷ σώματι. ἀμφό-
τερα οὖν χωρεῖ εἰς σώματά τε νοητὰ, καὶ τὰ ὑλικά. ἐξ ἀντιθέ-
σεως γὰρ, καὶ ἐναντιότητος δεῖ τὰ πάντα συνεστάναι. καὶ τοῦτο
ἄλλως εἶναι ἀδύνατον. Τίς οὖν ὁ ὑλικὸς θεὸς ὁδί; Ο καλὸς
κόσμος, οὐκ ἔστι δὲ ἀγαθός. ὑλικὸς γὰρ καὶ εὐπάθητος· καὶ
πρῶτος μὲν παθητῶν, δεύτερος δὲ τῶν ὄντων, καὶ αὐτοδεής· καὶ
αὐτὸς ποτὲ μὲν γενόμενος, ἀεὶ δὲ ὤν· ὢν δὲ ἐν γενέσει, καὶ γι-
νόμενος ἀεί· γένεσις τῶν ποιῶν καὶ τῶν ποσῶν· κινητὸς γάρ.
11 πᾶσα γὰρ ὑλικὴ κίνησις γένεσίς ἐστιν. [11] Η δὲ νοητὴ στάσις
κινεῖ τὴν ὑλικὴν κίνησιν τὸν τρόπον τοῦτον· ἐπεὶ ὁ κόσμος σφαῖ-
ρά ἐστι, τουτέστι κεφαλή· κεφαλῆς δὲ οὐδὲν ὑπεράνω ὑλικὸν,
ὥσπερ οὐδὲ ποδῶν οὐδὲν νοητὸν ὑποκάτω, πᾶν δὲ ὑλικόν. νοῦς
δὲ κεφαλὴ, αὕτη σφαιρικῶς κινουμένη, τοῦτό ἐστι κεφαλικῶς·
ὅσα οὖν προσήνωται τῷ ὑμένι τῆς κεφαλῆς ταύτης, ἐν ᾧ ἐστὶν
ἡ ψυχὴ, ἀθάνατα πέφυκεν· ὥσπερ ἐν ψυχῇ δὲ σώματος πε-
ποιημένου, καὶ πλήρη τοῦ σώματος τὴν ψυχὴν ἔχοντα. τὰ
δὲ πόῤῥω τοῦ ὑμένος, ἐν ᾧ τὸ πλέον ἔχοντα τῆς ψυχῆς, τὸ
σῶμα· πᾶν δὲ ζῶον. ὥστε τὸ πᾶν ἔκ τε ὑλικοῦ καὶ νοητοῦ † πρῶ
12 συνέστηκε. [12] Καὶ ὁ μὲν κόσμος, † πρῶτον· ὁ δὲ ἄνθρω- τος
πος, δεύτερον ζῶον μετὰ τὸν κόσμον· † πρῶτος δὲ τῶν † πρῶ
θνητῶν τῶν μὲν ἄλλων ζώων, τὸ ἔμψυχον ἔχει. οὐκ ἔτι δὲ τον

tantum non bonus,quin & malus, vt mortalis. Mundus nanq; eo non bonus,quod mobilis exiſtat, nec malus quod immortalis ſit.homo vero tũ vt mobilis,tum velut mortalis,malus eſt.
[13] Hominis autẽ anima hoc modo fertur.Mens in ratione,Ratio in anima,Anima in ſpiritu,Spiritus in corpore,Spiritus per uadit venas,arterias,& ſanguinem,& animal mouet, ac quadã arte baiulat.Quapropter quidam arbitrati ſunt animam ſanguinem eſſe,in natura fruſtrati.Nec id videntes,quod primitus ſpiritum in animã ſe recipere decet,tumq; ſanguinẽ concreſcere, & venas, ac arterias euacuari, ac id temporis animal demoliri. 13
hæc enim eſt corporis mors. [14] Ex vno autẽ principio cuncta 14
trahũtur.Principium autẽ ab vno & ſolo.Principium quidem mouetur,vt denuo principium extet.Solum autẽ vnum ſtat,& nõ mouetur. Et proinde tria ſunt hæc,Deus,Pater,& Bonum, Mundus,& Homo.Mundum enim Deus in ſe habet, hominẽ autem mundus. Eſt nãq; mundus Dei filius,homo vero velut
mundi propagatio. [15] Haud equidem ignorat Deus hominẽ: 15
quinetiam cognoſcit,& ab eo cognoſci cupit.Hoc vnum ſalutare eſt homini,cognitio nempe Dei, ipſa eſt in cœlum aſcenſus.Hoc vnico bona fit anima,& quę bona eſt,nunquã mala fit: ſed per neceſſitatem fit.Quomodo id autumas,o Triſmegiſte. Infantis animam ſpeculare,o fili,cum nõ adhuc diſſolutionem ſui recipit,corpus eius etiam paruum, & nondum prorſus amplificatũ.Quomodo? Pulchram vndiq; quidẽ aſpectu, nondũ maculatam a corporis affectibus,etiamdũ fere ab anima mundi pendentẽ.Cum autem excreuit corpus,& ipſam detraxit in corporis moles ſeipſam diſſoluens obliuionẽ parit, & pulchri
ac boni non fit particeps.Obliuio nãq; fit nequitia. [16] Id idem 16
contigit & ijs,qui corpore liberati ſunt. Recurrente nimirũ in ſeipſam anima,ſpiritus in ſanguinem contrahitur, anima vero in ſpiritum. Mens autem amictib.nuda, natura Diuina exiſtẽs, accepto corpore igneo omnem locum perluſtrat, deſerens animam iudicio,&ei quod iuxta dignitatem iudicato.Quonam modo id ais,o Pater?Mens ab anima ſeiungitur, & anima a ſpiritu,cum dixeris amictũ eſſe mentis quidẽ animam, animæ vero ſpiritum. [17] Concordem,o fili,audientẽ dicenti eſſe decet, 17

μόνον οὐκ ἀγαθὸς, ἀλλὰ καὶ κακὸς ὡς θνητός. ὁ μὲν γὰρ κόσμος,
οὐκ ἀγαθὸς, ὡς κινητός· οὐ κακὸς δὲ, ὡς ἀθάνατος. ὁ δὲ ἄν-
13 θρωπος καὶ ὡς κινητὸς, καὶ ὡς θνητὸς κακός. [13] Ψυχὴ δὲ ἀν-
θρώπου ὀχεῖται τὸν τρόπον τοῦτον· ὁ νοῦς ἐν τῷ λόγῳ· ὁ λόγος ἐν
τῇ ψυχῇ· ἡ ψυχὴ ἐν τῷ πνεύματι· τὸ πνεῦμα ἐν τῷ σώματι. τὸ
πνεῦμα διήκει διὰ φλεβῶν, καὶ ἀρτηριῶν, καὶ αἵματος, καὶ κινεῖ τὸ
ζῶον· καὶ ὥσπερ τρόπον τινὰ βαστάζει. διὸ καί τινες τὴν ψυχὴν
αἷμα ἐνόμισαν εἶναι, σφαλλόμενοι τὴν φύσιν, οὐκ εἰδότες ὅτι
πρῶτον δεῖ τὸ πνεῦμα ἀναχωρῆσαι εἰς τὴν ψυχήν· καὶ τότε τὸ
αἷμα παγῆναι, καὶ τὰς φλέβας, καὶ τὰς ἀρτηρίας κενωθῆναι, καὶ
τότε τὸ ζῶον καθελεῖν· καὶ τοῦτό ἐστι θάνατος τοῦ σώματος.
14 [14] Ἐκ μιᾶς δὲ ἀρχῆς τὰ πάντα ἤρτηται· ἡ δὲ ἀρχὴ, ἐκ τοῦ ἑ-
νὸς καὶ μόνου. καὶ ἡ μὲν ἀρχὴ κινεῖται, ἵνα πάλιν ἀρχὴ γένηται. τὸ
δὲ ἓν μόνον ἕστηκεν, καὶ οὐ κινεῖται. καὶ τρία τοίνυν ταῦτα, ὁ θεὸς,
καὶ πατὴρ, καὶ τὸ ἀγαθὸν, καὶ ὁ κόσμος, καὶ ὁ ἄνθρωπος. καὶ τὸν μὲν κόσμον
ὁ θεὸς ἔχει· τὸν δὲ ἄνθρωπον ὁ κόσμος. καὶ γίνεται ὁ μὲν κόσμος, τοῦ
15 θεοῦ υἱὸς, ὁ δὲ ἄνθρωπος τοῦ κόσμου ὥσπερ ἔκγονος. [15] Οὐ γὰρ ἀγνοεῖ τὸν
ἄνθρωπον ὁ θεὸς, ἀλλὰ καὶ πάνυ γνωρίζει, καὶ θέλει γνωρίζεσθαι. τοῦ-
το μόνον σωτήριον ἀνθρώπῳ ἐστὶν, ἡ γνῶσις τοῦ θεοῦ. αὕτη εἰς τὸν ὄλυμ-
πόν ἐστιν ἀνάβασις. τούτῳ μόνῳ ἀγαθὴ ψυχὴ, καὶ οὐδέποτε ἀγαθὴ, κακὴ
γίνεται, κατ᾽ ἀνάγκην δὲ γίνεται. Πῶς τοῦτο λέγεις, ὦ τρισμέγιστε. Ψυ-
χὴν παιδὸς θεάσαι, ὦ τέκνον, † αὐτὴν διάλυσιν αὑτῆς μηδέπω ἐπιδε- † ἑαυτὴν
χομένην, τοῦ σώματος αὐτῆς ἔτι † ὀλίγου, καὶ μηδέπω τὸ πᾶν ὠγκω- † ὀλίγον,
μένου. Πῶς. Καλὴν μὲν βλέπειν πανταχοῦ· μηδέποτε δὲ τεθολω-
μένην ὑπὸ τῶν τοῦ σώματος παθῶν· ἔτι σχεδὸν ἠρτημένην τῆς τοῦ κόσ-
μου ψυχῆς. ὅταν δὲ ὀγκωθῇ τὸ σῶμα, καὶ καταπάσῃ αὐτὴν εἰς τοὺς
τοῦ σώματος ὄγκους, διαλύσασα δὲ ἑαυτὴν, ἐγγεννᾷ λήθην, καὶ τοῦ κα-
16 λοῦ καὶ ἀγαθοῦ οὐ μεταλαμβάνει. ἡ δὲ λήθη κακία γίνεται. [16] Τὸ δὲ
αὐτὸ συμβαίνει καὶ τοῖς τοῦ σώματος ἐξιοῦσιν. ἀναδραμοῦσα γὰρ ἡ ψυχὴ
εἰς ἑαυτὴν, συστέλλεται τὸ πνεῦμα εἰς τὸ αἷμα· ἡ δὲ ψυχὴ εἰς τὸ πνεῦ-
μα· ὁ δὲ νοῦς καθαρὸς γενόμενος τῶν ἐνδυμάτων, θεῖος ὢν φύσει, σώ-
ματος πυρίνου λαβόμενος, περιπολεῖ πάντα τόπον, καταλιπὼν
τὴν ψυχὴν κρίσει, καὶ τῇ κατ᾽ ἀξίαν δίκῃ. Πῶς τοῦτο λέγεις, ὦ
πάτερ· ὁ νοῦς τῆς ψυχῆς χωρίζεται, καὶ ἡ ψυχὴ τοῦ πνεύματος, σοῦ
εἰπόντος ἔνδυμα εἶναι, τοῦ μὲν νοῦ τὴν ψυχὴν, τῆς δὲ ψυχῆς τὸ
37 πνεῦμα. [17] Συννοεῖν δεῖ, ὦ τέκνον, τὸν ἀκούοντα τῷ λέγοντι,

& conſpirare,& voce dicentis auditũ acutiorem habere. Horum velaminũ, o fili,ſtructura in corpore terreno fit. Nõ enim poteſt mens in terreno corpore per ſe nuda collocari.Nã terrenum corpus tantam immortalitatẽ ferre non poteſt.Nec talem virtutem pati concoloratũ ipſi patibile corpus. Aſſumpſit itaq; velut ſeptũ animam.Anima verò diuina exiſtens, tanquã
igne vtitur ſpiritu. Spiritus autẽ animal regit. [18] Cum igitur 18
mens a terreno corpore migrauerit: propriã illico induit tunicam igneam,quã habere non poterat,cum corpus terreũ incoleret.Terra nãq; ignem non fert. Vniuerſa nimirũ vreretur ab exigua ſcintilla.Et hac de cauſa aqua terrę circũiacet velut propugnaculũ & mœnia,obſiſtens ignis flammæ. Mens diuinarũ omnium intelligẽtiarum acutiſſima,ac principijs cunctis acutior,corpus habet ignem. Opifex etenim igne vtitur ad omniũ cœlorum opificiũ,& rerum omnium vniuerſi. Hominis vero mẽs,terrenorũ omnium. Nudata nãq; ab igne quæ in homine mens eſt,Diuina operari non valet. cum ſit humana incolatu.
[19] Anima humana haud equidẽ omnis,quinimo pia,felix hæc 19
eſt,& Diuina:ac huiuſmodi aĩa, cum pietatis agone tranſmiſſo a corpore libera fuerit,Deus fit(nã pietatis agon eſt Deum cognoſcere & nullũ hominem iniuria petere) aut ſane Mens efficitur.Anima vero impia,in propria eſſentia permanet, a ſeipſa pœnis affecta,& terreum corpus perquirens, quoad humanũ ingrediatur. Aliud nãq; corpus humanam animã non ſuſcipit. Neq; ius eſt in corpus animantis ratione carentis humanã animam cadere.Nã iſta Dei lex eſt,animam humanã tutari a tanta contumelia. [20] Quonam igitur pacto mulctatur anima hu- 20
mana, o Pater? Ecquis eſt humanæ animæ maior cruciatus, o fili, impietate? Qualis ignis tantam flãmam habet quantã impietas? Qualis autẽ virulenta fera ita corpus inficit,vt ipſam animam impietas? Num percipis quanta mala impia anima patitur? vociferans ipſa & exclamans,vror,inflammor,quid dicã, quid agam neſcio, laceror infelix malis præpedita, nec video, nec audio.Hæ voces nũ animæ mulctatæ ſunt? Aut velut multi arbitrantur,tu opinaberis quoq;,o fili. Quod ſcilicet anima corpus egreſſa ferinum ſubeat:quiquidem eſt maximus error.

καὶ συμπνέειν, καὶ ὀξυτέραν ἔχειν τὴν ἀκοὴν τῆς τοῦ λέγοντος φωνῆς.
ἡ σύνθεσις τῶν ἐνδυμάτων τούτων, ὦ τέκνον, ἐν σώματι γηΐνῳ γίνεται.
ἀδύνατον γὰρ τὸν νοῦν ἐν γηΐνῳ σώματι γυμνὸν αὐτὸν καθ᾽ ἑαυτὸν ἑδρά-
σαι. οὔτε γὰρ τὸ γήϊνον σῶμα δυνατόν ἐστι τηλικαύτην ἀθανασίαν ἐνε-
γκεῖν, οὔτε τὴν τοιαύτην ἀρετὴν ἀνέχεσθαι συγχρωματιζόμενον αὐτῷ
παθητὸν σῶμα. ἔλαβεν οὖν ὥσπερ περιβολὴν τὴν ψυχήν· ἡ δὲ ψυ-
χὴ καὶ αὐτὴ, θεία τις οὖσα, καθαπερεὶ πυρὶ τῷ πνεύματι χρῆται.
18 τὸ δὲ πνεῦμα τὸ ζῶον διοικεῖ. [18] Ὅταν οὖν ὁ νοῦς ἀπαλλαγῇ τοῦ
γηΐνου σώματος, τὸν ἴδιον εὐθὺς ἐνεδύσατο χιτῶνα τὸν πύρινον, ὃν οὐκ
ἐδύνατο ἔχων εἰς τὸ γήϊνον σῶμα κατοικῆσαι. γῆ γὰρ πῦρ οὐ βαστάζει.
πᾶσα γὰρ φλέγεται, καὶ ὑπὸ ὀλίγου σπινθῆρος. καὶ διὰ τοῦτο τὸ ὕδωρ
περικέχυται τῇ γῇ, ὥσπερ ἔρυμα καὶ τεῖχος ἀντέχον πρὸς τὴν τοῦ πυ-
ρὸς φλόγα· νοῦς ὀξύτατος ὢν πάντων νοημάτων θείων, καὶ ὀξύτερος
πάντων τῶν στοιχείων, ἔχει σῶμα τὸ πῦρ. δημιουργὸς γὰρ ἁπάντων
τῶν οὐρανῶν, τῷ πυρὶ πρὸς τὴν δημιουργίαν χρῆται. καὶ ὁ μὲν τοῦ
παντὸς τῶν πάντων· ὁ δὲ τοῦ ἀνθρώπου τῶν ἐπιγείων πάντων. γυ-
μνὸς γὰρ ὢν τοῦ πυρὸς ὁ ἐν ἀνθρώπῳ νοῦς, ἀδυνατεῖ τὰ θεῖα δημιουρ-
19 γεῖν, ἀνθρώπινος ὢν τῇ διοικήσει. [19] Ψυχὴ δὲ ἀνθρωπίνη, οὐ
πᾶσα μὲν, ἡ δὲ εὐσεβὴς, δαιμονία τίς ἐστι καὶ θεία. καὶ ἡ τοιαύτη ψυχὴ,
μετὰ τὸ ἀπαλλαγῆναι τοῦ σώματος, τὸν τῆς εὐσεβείας ἀγῶνα ἠγωνισ-
μένη, θεὸς γίνεται· ἀγὼν δὲ εὐσεβείας, τὸ γνῶναι τὸν θεὸν, καὶ μηδένα
ἀνθρώπων ἀδικῆσαι· ἢ δὴ νοῦς γίνεται· ἡ δὲ ἀσεβὴς ψυχὴ, μένει ἐπὶ
τῆς ἰδίας οὐσίας, ὑφ᾽ ἑαυτῆς κολαζομένη, καὶ γήϊνον σῶμα ζητοῦσα,
εἰς ὃ εἰσέλθῃ ἀνθρώπειον. ἄλλο γὰρ σῶμα οὐ χωρεῖ ἀνθρωπίνην
ψυχήν· οὐδὲ θέμις ἐστὶν εἰς ἀλόγου ζώου σῶμα, ψυχὴν ἀνθρωπί-
νην καταπεσεῖν. θεοῦ γὰρ νόμος οὗτος, φυλάσσειν ψυχὴν ἀνθρωπίνην
20 ἀπὸ τῆς τοσαύτης ὕβρεως. [20] Πῶς οὖν κολάζεται, ὦ πάτερ, ἀνθρω-
πίνη ψυχή. Καὶ τίς ἐστι μείζων κόλασις ἀνθρωπίνης ψυχῆς, ὦ τέκ-
νον, ἢ ἡ ἀσέβεια· ποῖον πῦρ τοσαύτην φλόγα ἔχει, ὅσην ἡ ἀσέβεια· ποῖον
δὲ δάκετον θηρίον, ὥστε λυμῆναι σῶμα, ὅσον αὐτὴν τὴν ψυχὴν ἡ
ἀσέβεια. ἢ οὐχ ὁρᾷς, ὅσα κακὰ πάσχει ψυχὴ ἡ ἀσεβὴς, βοώσης αὐτῆς
καὶ κεκραγυίας, καίομαι, φλέγομαι, τί εἴπω, τί ποιήσω οὐκ οἶδα· διε-
σθίομαι ἡ κακοδαίμων ὑπὸ τῶν κατεχόντων με κακῶν, οὔτε βλέ-
πω, οὔτε ἀκούω. αὗται αἱ φωναὶ, οὐ κολαζομένης εἰσὶ ψυχῆς; ἢ ὡς
οἱ πολλοὶ δοκοῦσι, καὶ σὺ δοξάζεις, ὦ τέκνον, ὅτι ψυχὴ ἐξελθοῦσα
τοῦ σώματος θηριάζεται; ὅπερ ἐστὶ πλάνη μεγίστη.

21 Anima nanq; hac lege mulctatur. Mentem etenim cũ Dæmon efficitur, corpus igneũ nancisci statutum est, ad Dei obsequia. Et impijssimam animã ingressa, ipsam peccatorũ flagellis verberat, a quib. cæsa anima impia, ad cædes, contumelias, execrationes, ac varias oppressiones se traducit: quib. homines iniuria afficiuntur. In animã autem piã mens ingressa, ad notitiæ lumẽ ipsam dirigit. Talis vero anima, nũquã satiatur quin hymnis ac bonis omnib. homines excipiat, verbisq; ac operib. de omnib. bene mereatur, patrem suum imitata. 22 Quocirca, o fili, Te Deo gratias agentem orare decet: vti mentem bonam adipiscamur. Anima etenim in præstantius transmigrat: non equidẽ in deterius potest. Est autẽ animarum cõmunicatio. Nã Deorum animæ cum hominũ animab. cõmunicant, Deus vero cum omnibus. Nã cunctis ipse potior est, & cuncta ipso minora. Deo quidẽ mundus subiacet: homo mundo: irrationalia homini. Deus itaq; supra cuncta & circa cuncta. Et velut quidam Dei radij sunt efficaciæ: mundi autẽ radij Naturæ: hominis vero, artes & scientię: efficacię autẽ per mundum efficiunt, etiam ad hominẽ vsq;, per innatos mundi radios: naturæ per elemẽta: homines vero per artes & scientias. 23 Et hæc vniuersi est dispensatio, ab vnius natura deprompta, ac per vnam mentẽ permanans: qua nihil diuinius, nihil est efficacius, nihil vniendi potentius, homines quidẽ ad Deos, Deos autẽ ad homines. Iste bonus Dæmon est. fausta est anima huius conferta, infelix vero anima huius exors. Quomodo hoc iterato dicis, o Pater? Suspicaris itaq;, o fili, omnem animam mentem habere bonã. Nam de hac nobis est sermo, non autẽ de seruili: quã olim diximus ex iudicio deorsum demissam. 24 Anima autẽ mentis expers, neq; quidquã dicere, nec agere potest. Sæpe nãq; mẽs ab anima migrat: ac tum neq; videt anima, nec audit: quinetiã irrationabili animali par est. tanta est mẽtis potestas. At talem animã in corpus deserit propensam, & ab ipso infra pręfocatã. Talis autem anima, o fili, mentẽ non habet. Quare talem neq; licet hominẽ appellare. Nã homo animal diuinum est: & cæteris terrenis animalib. non confertur: quinimo ijs qui sursum in celo Dij dicuntur. Quin præterea si intrepide conuenit verũ

21 [21] Ψυχὴ γὰρ κολάζεται τοῦτον τὸν τρόπον. ὁ γὰρ νοῦς ὅταν δαίμων γέ-
νηται, πυρίνου τυχεῖν σώματος τέτακται, πρὸς τὰς τοῦ θεοῦ ὑπηρε-
σίας, καὶ εἰσδὺς εἰς τὴν ἀσεβεστάτην ψυχὴν, αἰκίζεται αὐτὴν ταῖς τῶν
ἁμαρτανόντων μάστιξιν· ὑφ᾽ ὧν μαστιζομένη ἡ ἀσεβὴς ψυχὴ, τρέπε-
ται ἐπὶ φόνους καὶ ὕβρεις, καὶ βλασφημίας, καὶ βίας ποικίλας, δι᾽ ὧν
ἄνθρωποι ἀδικοῦνται· εἰς δὲ τὴν εὐσεβῆ ψυχὴν ὁ νοῦς ἐμβὰς, ὁδη-
γεῖ αὐτὴν ἐπὶ τὸ τῆς γνώσεως φῶς. ἡ δὲ τοιαύτη ψυχὴ, κόρον οὐδέ-
ποτε ἴσχει † ὑμνοῦσα· εὐφημοῦσά τε πάντας ἀνθρώπους, καὶ λό- † ὑπνοῦ-
γοις καὶ ἔργοις πάντα † εὖ ποιοῦσα, μιμουμένη αὐτῆς τὸν πατέρα. σα·
22 [22] Διὸ, ὦ τέκνον, εὐχαριστοῦντα τῷ θεῷ δεῖ εὔχεσθαι καλοῦ τοῦ νοῦ † ἐμ-
τυχεῖν· εἰς μὲν οὖν τὸ κρεῖττον ψυχὴ μεταβαίνει· εἰς δὲ τὸ ἔλαττον, ποιοῦ-
ἀδύνατον. κοινωνία δέ ἐστι ψυχῶν· καὶ κοινωνοῦσι μὲν αἱ τῶν θεῶν ταῖς σα,
τῶν ἀνθρώπων· ὁ δὲ θεὸς πάντων. πάντων γὰρ οὗτος κρείττων, καὶ πάντα
αὐτοῦ ἐλάττονα. ὁ μὲν οὖν κόσμος, ὑπόκειται τῷ θεῷ· ὁ δὲ ἄνθρωπος,
τῷ κόσμῳ. τὰ δὲ ἄλογα τῷ ἀνθρώπῳ· ὁ δὲ θεὸς ὑπὲρ πάντα, καὶ πε-
ρὶ πάντα· καὶ τοῦ μὲν θεοῦ καθάπερ ἀκτῖνες αἱ ἐνέργειαι· τοῦ δὲ κόσμου
ἀκτῖνες, αἱ φύσεις· τοῦ δὲ ἀνθρώπου αἱ τέχναι καὶ ἐπιστῆμαι. καὶ αἱ μὲν
ἐνέργειαι διὰ τοῦ κόσμου ἐνεργοῦσι, καὶ ἐπὶ τὸν ἄνθρωπον, διὰ τῶν τοῦ κόσμου
φυσικῶν ἀκτίνων· αἱ δὲ φύσεις, διὰ τῶν στοιχείων· οἱ δὲ ἄνθρωποι, διὰ
23 τῶν τεχνῶν καὶ ἐπιστημῶν. [23] Καὶ αὕτη ἡ τοῦ παντός ἐστι διοίκησις, ἠρτη-
μένη ἐκ τῆς τοῦ ἑνὸς φύσεως, καὶ διήκουσα δι᾽ ἑνὸς τοῦ νοῦ. οὗ οὐδέν ἐστι
θειότερον, καὶ ἐνεργέστερον, καὶ ἑνωτικώτερον, ἀνθρώπων μὲν πρὸς τοὺς
θεοὺς, θεῶν δὲ πρὸς τοὺς ἀνθρώπους. οὗτός ἐστιν ὁ ἀγαθὸς δαίμων.
μακαρία ψυχὴ ἡ τούτου πληρεστάτη· κακοδαίμων δὲ ψυχὴ, ἡ τούτου
κενή. Πῶς τοῦτο πάλιν λέγεις, ὦ πάτερ. Οἴει οὖν, ὦ τέκνον, ὅτι πᾶ-
σα ψυχὴ νοῦν ἔχει τὸν ἀγαθόν. περὶ γὰρ τούτου ἐστὶν ἡμῖν ὁ λόγος, οὐ πε-
ρὶ τοῦ ὑπηρετικοῦ, οὗ ἔμπροσθεν εἰρήκαμεν τοῦ καταπεμπομένου ὑπὸ
24 τῆς δίκης. [24] Ψυχὴ γὰρ χωρὶς τοῦ νοῦ, οὔτε τι εἰπεῖν, οὔτε τι ἕρξαι δύνα-
ται. πολλάκις γὰρ ἐξέστη ὁ νοῦς τῆς ψυχῆς· καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ, οὔτε
βλέπει ψυχὴ, οὔτε ἀκούει, ἀλλ᾽ ἀλόγῳ ζώῳ ἔοικε. τηλικαύτη δύναμίς
ἐστι τοῦ νοῦ. ἀλλὰ καταλείπει τὴν τοιαύτην ψυχὴν τῷ σώματι προ-
σηρτημένην, καὶ ὑπ᾽ αὐτοῦ ἀγχομένην κάτω. ἡ δὲ τοιαύτη ψυ-
χὴ τέκνον, νοῦν οὐκ ἔχει. ὅθεν οὐδὲ ἄνθρωπον δεῖ λέγεσθαι τὸν
τοιοῦτον. ὁ γὰρ ἄνθρωπος, ζῶόν ἐστι θεῖον, καὶ τοῖς ἄλλοις ζώοις
οὐ συγκρίνεται τῶν ἐπιγείων, ἀλλὰ τοῖς ἐν οὐρανῷ ἄνω λεγο-
μένοις θεοῖς. μᾶλλον δ᾽ εἰ χρὴ τολμήσαντα εἰπεῖν τὸ ἀληθές,

loqui, ſupra ipſos reuera homo eſt, aut prorſus æque poſſunt
adinuicem. [25] Quicunq; etenim Deorum celeſtium in terrã 25
deſcendet, cœli deſerit limitem. Homo autem in cœlũ ſe ex-
tollit, & ipſum metitur: ac ipſius, quales ſunt ſublimitates, qua-
leſue depreſſiones videt: & alia cũcta abſolute pcipit: & quod
omnib. maius eſt, terrã non deſerens ſurſum fit. Tanta eſt illi ſe
amplificandi copia. Quocirca audẽdum eſt dicere, hominem
quidem terrenũ eſſe Deum mortalem, Cœleſtẽ vero Deum,
eſſe immortalem hominem. Omnia proinde per hæc duo diſ-
penſantur, per mundum, & hominem, omnia autem ab vno.

MENTIS AD MERCVRIVM,

CAPVT VNDECIMVM.

COnſerua ideo, Triſmegiſte Mercuri, ſermo- 1
nem, ac eorũ quæ dicta ſunt reminiſcere. Vt
autem mihi ſuccurrit, non verebor dicere.
Quum multis de Deo & vniuerſo multa di-
centibus, eaq; diſcrepãtia, ego veritatem nõ
attigerim: tu domine mihi hoc dilucida. Tibi
nãq; vnico huius negocij patefactionem credã. [2] O fili, auſcul- 2
ta, quomodo tẽpus, Deus, ac vniuerſum ſe habent. Deus, Æuũ,
* Mundus |, Tempus, Generatio. Deus æuum facit, æuum au-
tem mundũ, mundus tẽpus, & tempus generationem. Dei au-
tem velut eſſentia eſt, Bonũ, Pulchrum, Beatitudo, Sapientia.
Æui vero, eſſe idem: Mundi, ordo: Temporis, mutatio: Genera
tionis, vita & mors: Dei quidẽ efficaciæ, Mens ac anima: Æui
autẽ, perſeuerãtia & immortalitas: Mundi, reſtauratio & reſtau
rationis deſtructio: Temporis, incrementũ & diminutio: Gene
rationis, qualitas. Æuum itaq; in Deo eſt: Mundus autẽ in æuo:
Tempus in mundo: Generatio in tẽpore. Æuum quidẽ ſtat cir
ca Deũ: Mundus vero in æuo mouetur: Tempus autẽ in mun-
do tranſit. Generatio ſane fit in tẽpore. [3] Origo igitur omniũ 3
Deus: eſſentia Æuum, Materia mundus: Dei poteſtas eſt æuũ,
Æui effectus mundus, non aliquando factus: quinimo ſemper
ab æuo fit: nec idcirco vnquã corrũpetur. Æuum etenim cor-

καὶ ὑπὲρ ἐκείνους ἐστὶν ὁ ὄντως ἄνθρωπος· ἢ πάντως γε ἰσοδυναμοῦ-
25 σιν ἀλλήλοις. [25] Οσις μὲν γὰρ τῶν οὐρανίων θεῶν ἐπὶ γῆς κα-
τελεύσεται, οὐρανοῦ τὸν ὅρον καταλείπει· ὁ δὲ ἄνθρωπος εἰς τὸν
οὐρανὸν ἀναβαίνει, καὶ μετρεῖ αὐτὸν, καὶ οἶδε ποῖα μέν ἐστιν αὐτοῦ
ὑψηλὰ, ποῖα δὲ ταπεινὰ, καὶ τὰ ἄλλα πάντα ἀκριβῶς μαν-
θάνει· καὶ τὸ πάντων μεῖζον, οὐδὲ τὴν γῆν καταλιπὼν, ἄνω
γίνεται. τοσοῦτον μέγεθός ἐστιν αὐτοῦ τῆς ἐκτάσεως. διὸ τολμη-
τέον ἐστὶν εἰπεῖν, τὸν μὲν ἄνθρωπον ἐπίγειον, εἶναι θεὸν θνητόν·
τὸν δὲ οὐράνιον εἶναι θεὸν, ἀθάνατον ἄνθρωπον. διόπερ διὰ τού-
των τὰ πάντα διοικεῖται τῶν δύο, κόσμου καὶ ἀνθρώπου· ὑπὸ
δὲ τοῦ ἑνὸς τὰ πάντα.

† ΝΟΥ ΠΡΟΣ ΕΡΜΗΝ.

†ΝΟΥΣ

1 ΚΑΤΑΣΧΕΣ οὖν τοῦ λόγου, ὦ τρισμέ-
γιστε Ἑρμῆ, καὶ μέμνησο τῶν λεγομένων· ὡς
δέ μοι ἐπῆλθεν εἰπεῖν, οὐκ ὀκνήσω· ἐπεὶ
πολλὰ πολλῶν καὶ ταῦτα διάφορα, πε-
ρὶ τοῦ παντὸς καὶ τοῦ θεοῦ εἰπόντων, ἐγὼ
τὸ ἀληθὲς οὐκ ἔμαθον, σύ μοι περὶ τού-
του, δέσποτα, διασάφησον. σοὶ γὰρ ἂν καὶ
μόνῳ πιστεύσαιμι τὴν περὶ τούτου φανέρω-
2 σιν. [2] Ο χρόνος, ἄκουε, ὦ τέκνον, ὡς ἔχει ὁ θεὸς, καὶ τὸ πᾶν. θεὸς, ὁ
αἰὼν, ὁ κόσμος, ὁ χρόνος, ἡ γένεσις. ὁ θεὸς αἰῶνα ποιεῖ, ὁ αἰὼν δὲ τὸν κόσ
μον, ὁ κόσμος δὲ τὸν χρόνον, ὁ χρόνος δὲ τὴν γένεσιν. τοῦ δὲ θεοῦ, ὥσπερ
οὐσία ἐστὶ τὸ ἀγαθὸν, τὸ καλὸν, ἡ εὐδαιμονία, ἡ σοφία· τοῦ δὲ αἰῶνος, ἡ
ταυτότης. τοῦ δὲ κόσμου, ἡ τάξις· τοῦ δὲ χρόνου, ἡ μεταβολή· τῆς δὲ γε-
νέσεως, ἡ ζωὴ καὶ ὁ θάνατος. ἐνέργεια δὲ τοῦ θεοῦ, νοῦς καὶ ψυχή· τοῦ δὲ αἰῶ-
νος, διαμονὴ καὶ ἀθανασία· τοῦ δὲ κόσμου ἀποκατάστασις καὶ ἀνταποκα-
τάστασις· τοῦ δὲ χρόνου, αὔξησις καὶ μείωσις· τῆς δὲ γενέσεως, ποιότης. ὁ
οὖν αἰὼν ἐν τῷ θεῷ· ὁ δὲ κόσμος ἐν τῷ αἰῶνι. ὁ δὲ χρόνος ἐν τῷ κόσ-
μῳ· ἡ δὲ γένεσις ἐν τῷ χρόνῳ. καὶ ὁ μὲν αἰὼν ἕστηκε περὶ τὸν θεόν·
ὁ δὲ κόσμος κινεῖται ἐν τῷ αἰῶνι· ὁ δὲ χρόνος περαιοῦται ἐν τῷ
3 κόσμῳ· ἡ δὲ γένεσις γίνεται ἐν τῷ χρόνῳ. [3] Πηγὴ μὲν οὖν πάν-
των ὁ θεός· οὐσία δὲ ὁ αἰών· ὕλη δὲ ὁ κόσμος· δύναμις δὲ τοῦ θεοῦ
ὁ αἰών· ἔργον δὲ τοῦ αἰῶνος, ὁ κόσμος, γενόμενος οὔποτε, καὶ ἀεὶ γι-
νόμενος ὑπὸ τοῦ αἰῶνος. διὸ οὐδὲ φθαρήσεταί ποτε. αἰὼν γὰρ

rumpi non poteſt: neq; delebitur quidpiã eorum quæ in mundo ſunt. Nã ab æuo mundus continetur. Dei autem ſapientia quędã eſt Bonum, Pulchrũ, Beatitas, omnis probitas, & æuum.
[4] Æuum itaq; materiã ornat, imponens ei immortalitatem & 4
permanſionẽ. Ipſius nãq; generatio ab æuo ducitur, velut æuũ a Deo. Generatio nimirum ac tẽpus in cœlo & terra bipartita ſunt: In cœlo quidẽ mutationis & corruptionis expertia, in terra vero mutationi & corruptioni obnoxia. Porro ęui aĩa Deus: Mundi vero æuum: Terrę cœlum. Deus quidẽ in mente: mens in anima: anima in materia. Hæc autẽ omnia per æuũ. Vniuerſum vero hoc corpus in quo ſunt omnia corpora, anima mẽtis & Dei conferta, introrſum quidẽ explet, extra vero vniuerſum vita donans circũplectitur. Extra ſcilicet hoc immẽſum & integrum animal mundum: intus vero omnia animantia. Ac ſurſum quidem in cœlo eundem ſtatũ conſeruans, deorſum vero
in terra generationem varians. [5] Hunc autẽ mundum æuum 5
poſſidet aut neceſſitate, aut prouidentia, ſiue natura. Et ſi quid aliud quiſquã excogitat, aut excogitare poteſt, hoc in vniuerſum Deus operatur. Dei nimirũ efficacia potentia eſt inſuperabilis: cui neq; humana neq; diuina conferat quiſquam. Quapropter, o Mercuri, ne quięquã infimorum aut ſublimiũ Deo ſimile exiſtimes. nã a veritate aberrares. Nihil etenim ſimile eſt omnib. impari, & ſoli ac vni. Et ne alij cuiuis hanc virtutẽ competere putes. Quæ enim poſt illum facultas, vitæ, & immortalitatis, ſiue mutationis qualitatis. Quidnã aliud ipſe fecerit. Nõ enim otio vacat Deus. Cuncta nãq; otioſa forent. Omnia itaq; Dei referta ſunt: quinimo nec in mundo vſquã eſt otium, nec in re quaquã alia. Otium etenim dictio vacua eſt, cũ ab eo qui
facit, tum ab eo quod fit. [6] Omnia autẽ fieri decet, & ſemper, 6
& iuxta cuiuſq; loci propenſionẽ. Operans nãq; in omnib. eſt, non in aliquo ſedens, neq; quid vnicũ faciens, ſed omnia, nimirum virtus effectrix exiſtens. Nec ſibi in ijs quæ fiunt ſufficit: quinetiã facta ſub ipſo ſunt. Mundũ ſpeculare tuo conſpectui per me ſuppoſitum. Pulchritudinẽ quoq; ipſius accurate ſcrutare, corpus quidẽ intemeratũ, & quo nihil antiquius erit. Vndiq; autẽ vegetum & recẽs, & multo viuacius. [7] Intuere item 7

ἄφθαρτος· οὐδὲ ἀπολεῖταί τι τῶν ἐν τῷ κόσμῳ, τοῦ κόσμου ὑπὸ
τοῦ αἰῶνος ἐμπεριεχομένου. ἡ δὲ τοῦ θεοῦ σοφία τίς ἐστι, τὸ ἀγα-
θὸν, καὶ τὸ καλὸν, καὶ ἡ εὐδαιμονία, καὶ ἡ πᾶσα ἀρετὴ, καὶ ὁ
4 αἰών. [4] Κοσμεῖ οὖν τὴν ἀθανασίαν καὶ διαμονὴν ἐνθεὶς ὁ αἰὼν
τῇ ὕλῃ. ἡ γὰρ ἐκείνης γένεσις ἤρτηται ἐκ τοῦ αἰῶνος, καθάπερ καὶ
ὁ αἰὼν ἐκ τοῦ θεοῦ. ἡ γὰρ γένεσις καὶ ὁ χρόνος ἐν οὐρανῷ καὶ ἐν
γῇ εἰσὶν ὄντες διφυεῖς. ἐν μὲν οὐρανῷ, ἀμετάβλητοι καὶ ἄφθαρτοι·
ἐν δὲ γῇ, μεταβλητοὶ καὶ φθαρτοί. καὶ τοῦ μὲν αἰῶνος ἡ ψυχὴ ὁ
θεός· τοῦ δὲ κόσμου, ὁ αἰών· τῆς δὲ γῆς, ὁ οὐρανός. καὶ ὁ μὲν
θεὸς ἐν τῷ νῷ· ὁ δὲ νοῦς, ἐν τῇ ψυχῇ· ἡ δὲ ψυχὴ, ἐν τῇ ὕλῃ·
πάντα δὲ ταῦτα διὰ τοῦ αἰῶνος. τὸ δὲ πᾶν τοῦτο σῶμα, ἐν ᾧ τὰ
πάντα ἐστὶ σώματα, ψυχὴ πλήρης τοῦ νοῦ καὶ τοῦ θεοῦ, ἐντὸς μὲν
αὐτὸ πληροῖ· ἐκτὸς δὲ περιλαμβάνει ζωοποιοῦσα τὸ πᾶν· ἐκτὸς
μὲν, τοῦτο τὸ μέγα καὶ τέλειον ζῶον τὸν κόσμον· ἐντὸς δὲ, πάν-
τα τὰ ζῶα· καὶ ἄνω μὲν ἐν τῷ οὐρανῷ διαμένουσα τῇ ταυτότη-
5 τι· κάτω δὲ ἐπὶ τῆς γῆς τὴν γένεσιν μεταβάλλουσα. [5] Συνέ-
χει δὲ τοῦτον ὁ αἰὼν, εἴτε δι' ἀνάγκην, εἴτε διὰ πρόνοιαν, εἴτε
φύσιν, καὶ εἴτι ἄλλο οἴεται, ἢ οἰήσεταί τις, τοῦτό ἐστι πᾶν ὁ θεὸς
ἐνεργῶν. ἡ δὲ ἐνέργεια θεοῦ δύναμις οὖσα ἀνυπέρβλητος, ᾗ οὔτε
τὰ ἀνθρώπεια, οὔτε τὰ θεῖα παραβάλλοι ἄν τις. διὸ Ερμῆ μη-
δέποτε τῶν κάτω, μήτε τῶν ἄνω, ὅμοιόν τι ἡγήσῃ τῷ θεῷ·
ἐπεὶ τῆς ἀληθείας ἐκπεσῇ. οὐδὲν γὰρ ὅμοιον τῷ ἀνομοίῳ καὶ
μόνῳ καὶ ἑνὶ, καὶ μηδὲ ἄλλῳ τινὶ ἡγήσῃ τῆς δυνάμεως ἐγχω-
ρεῖν· τίς γὰρ μετ' ἐκεῖνον, εἴτε ζωῆς καὶ ἀθανασίας καὶ μετα-
βολῆς ποιότητος. τί δὲ αὐτὸς ἄλλό τι ποιήσειεν. οὐ γὰρ ἀρ-
γὸς ὁ θεὸς, ἐπεὶ πάντα ἂν ἦν ἀργά· ἅπαντα γὰρ πλήρη τοῦ
θεοῦ. ἀλλ' οὐδὲ ἐν τῷ κόσμῳ ἐστὶν ἀργία οὐδαμοῦ, οὐδὲ ἔν
τινι ἄλλῳ. ἀργία γὰρ ὄνομα κενόν ἐστι, καὶ τοῦ ποιοῦντος, καὶ
6 τοῦ γινομένου. [6] Πάντα δὲ δεῖ γίνεσθαι, καὶ ἀεὶ, καὶ καθ'
ἑκάστου τόπου ῥοπήν. ὁ γὰρ ποιῶν ἐν πᾶσίν ἐστιν, οὐκ ἔν τινι
ἱδρυμένος, οὐδὲ ἔν τι ποιῶν, ἀλλὰ πάντα. δύναμις γὰρ ὢν
ἐνεργὴς, οὐκ αὐτάρκης ἐστὶ τοῖς γινομένοις· ἀλλὰ τὰ γινόμενα
ὑπ' αὐτῷ. θέασαι δὲ δι' ἐμοῦ τὸν κόσμον ὑποκείμενον τῇ
σῇ ὄψει· τό, τε κάλλος αὐτοῦ ἀκριβῶς κατανόησον· σῶμα
μὲν ἀκήρατον, καὶ οὗ παλαιότερον οὐδὲν ἔσται, διὰ παντὸς
7 δὲ ἀκμαῖον καὶ νέον, καὶ μᾶλλον ἀκμαιότερον. [7] Ἴδε καὶ

ſubiectos ſeptem mundos, ſempiterno ornatos ordine, & vario curſu æuum adimplentes, luminis autẽ omnia plena: ignis vero nuſquã. Lumen nãq; amicitia & cõmercium contrariorũ ac diſſimilium fuit, a Dei efficacia pręfulgens, qui omnis boni parens eſt, & omnis ordinis dux, ac ſeptem mundorum rector. Lunam etiã intuere, illorũ omnium præcurſorem, naturæ organum, inferã materiam mutantẽ. Terram quoq; mediã, vniuerſi ſedimentũ, pulchri mundi fundamentũ, educatricem ac nutricem terrenorũ. Quinetiam pluralitatẽ immortalium animantium, quanta ſit ſpeculare, necnon mortaliũ. Inter vtraq; mortalia quidẽ & immortalia, mediam circumeuntem lunã. [8] Oĩa 8
autem animę plena, ac omnia motu prędita, quędam circa cœlum, quædã circa terrã. Neq; ſiniſtrorſum dextra, nec dextrorſum ſiniſtra, nec ſublimia deorſum, nec infima ſurſum. Quod autem hæc omnia facta ſunt, dilecte Mercuri, nõ vltra eges a me diſcere. Corpora nanq; ſunt, animã habent, ac mouentur. Hæc autẽ nullo coaceruante in vnũ cogi non poſſunt. Oportet itaq; talẽ eſſe quendã, ac penitus vnum. [9] Diſcrepantes enim cum 9
ſint motus & plures, corporaq; non ſimilia, vna vero omnibus velocitas præſcripta ſit, non poſſunt duo aut plures eſſe factores. Vnicus etenim ordo ſub plurib. nõ ſeruatur. Æmulatio nãque infirmiorum in præſtantiorẽ conſequeretur, & laborarẽt. Quod ſi alius eſſet mutabilium factor animalium ac mortaliũ, is etiam immortalia facere voluiſſet, ac immortaliũ factor mortalia. Agedum ſi vnius ſtantis materiæ duo fuerint ac vnius animæ: penes quẽ illorum operationis erit erogatio? Si autẽ penes vtroſq;: penes quẽ potior pars? [10] Sic autẽ intellige, omne 10
corpus viuens ex materia & anima conſtitutionẽ habere, ęque immortalis ac mortalis & ratione deſtituti. Omnia nãq; corpora viuentia animata ſunt: non autẽ viuentia ſunt rurſus per ſe materia. Et anima perinde apud factorem per ſeipſam adiacet, vitæ cauſa. Omnis nãq; vitæ cauſa ex immortalib. eſt. Quomodo igitur mortalia animalia a mortalib. alia ſunt? Qui autẽ immortale & immortalitatis effector animal nõ efficit? [11] Quod 11
autẽ quiſpiam ſit hæc efficiens omnino vnus, certiſſimũ. Vna nãq; anima, vna vita, & vna materia. quis autẽ iſte? Quiſnam a-

τοὺς ὑποκειμένους ἑπτὰ κόσμοις κεκοσμημένους, τάξει αἰωνίῳ, καὶ
δρόμῳ διαφόρῳ τὸν αἰῶνα ἀναπληροῦντας· φωτὸς δὲ πάντα πλή-
ρη. πῦρ δὲ οὐδαμοῦ· ἡ γὰρ φιλία, καὶ ἡ σύγκρασις τῶν ἐναντίων καὶ
τῶν ἀνομοίων, φῶς γέγονε, καταλαμπόμενον ὑπὸ τῆς τοῦ θεοῦ
ἐνεργείας, παντὸς ἀγαθοῦ γεννήτορος, καὶ πάσης τάξεως ἄρχον-
τος καὶ ἡγεμόνος τῶν ἑπτὰ κόσμων· σελήνην δὲ ἐκείνων πρό-
δρομον πάντων, ὄργανον τῆς φύσεως, τὴν κάτω ὕλην μεταβάλ-
λουσαν· τήν τε γῆν μέσην τοῦ παντὸς ὑποστάθμην τοῦ καλοῦ
κόσμου ἱδρυμένην, τροφὸν καὶ τιθηνὴν τῶν ἐπιγείων. θέασαι δὲ
καὶ τὸ πλῆθος τῶν ἀθανάτων ζώων ὅσον ἐστὶ, καὶ τὸ τῶν θνη-
τῶν· μέσην δὲ ἀμφοτέρων, τῶν τε ἀθανάτων καὶ τῶν θνητῶν, τὴν
8 σελήνην περιπορευομένην. 8 Πάντα δὲ πλήρη ψυχῆς, καὶ
πάντα κινούμενα, τὰ μὲν περὶ τὸν οὐρανὸν, τὰ δὲ περὶ τὴν γῆν,
καὶ μήτε τὰ δεξιὰ ἐπὶ τὰ ἀριστερὰ, μήτε τὰ ἀριστερὰ ἐπὶ τὰ
δεξιὰ, μήτε τὰ ἄνω κάτω, μήτε τὰ κάτω ἄνω. καὶ ὅτι πάντα
ταῦτα γεννητὰ φίλτατε Ερμῆ, οὐκ ἔτι ἐμοῦ χρήζεις μαθεῖν. καὶ
γὰρ σώματά ἐστι, καὶ ψυχὴν ἔχει, καὶ κινεῖται. ταῦτα δὲ εἰς ἓν συν-
ελθεῖν ἀδύνατον χωρὶς τοῦ συνάγοντος. δεῖ οὖν τινὰ εἶναι † τοιοῦτον † τοῦτον
9 καὶ πάντως ἕνα. 9 Εν διαφόρων γὰρ, καὶ πολλῶν οὐσῶν τῶν κινή-
σεων, καὶ τῶν σωμάτων οὐχ ὁμοίων, μιᾶς δὲ κατὰ πάντων ταχύτη-
τος τεταγμένης, ἀδύνατον δύο, ἢ πλείους ποιητὰς εἶναι. μία γὰρ ἐπὶ
πολλῶν οὐ τηρεῖται τάξις· ζῆλος δὲ τοῖς πολλοῖς παρέπεται τοῦ
κρείττονος, καὶ ἐριοῦσι. καὶ εἰ ἕτερος ἦν ὁ ποιητὴς τῶν μεταβλητῶν
ζώων καὶ θνητῶν, ἐπεθύμησεν ἂν καὶ † ἀθάνατα ποιῆσαι, ὥσπερ καὶ † ἀθα-
ὁ τῶν ἀθανάτων † θνητά. φέρε δὲ εἰ καὶ δύο εἰσὶ, μιᾶς οὔσης τῆς νάτους
ὕλης, καὶ μιᾶς τῆς ψυχῆς, παρὰ τίνι ἂν αὐτῶν ἡ χορηγία τῆς † θνη-
ποιήσεως. εἰ δέ τι καὶ παρὰ ἀμφοτέροις, παρὰ τίνι τὸ πλεῖον τούς.
10 μέρος. 10 Οὕτω δὲ νόει, ὡς παντὸς σώματος ζῶντος, ἐξ
ὕλης καὶ ψυχῆς τὴν σύστασιν ἔχοντος, καὶ τοῦ ἀθανάτου καὶ τοῦ
θνητοῦ, καὶ τοῦ ἀλόγου. πάντα γὰρ σώματα ζῶντα, ἔμψυχα· τὰ
δὲ μὴ ζῶντα, ὕλη πάλιν καθ' ἑαυτήν ἐστι. καὶ ψυχὴ ὁμοίως
καθ' ἑαυτὴν τῷ ποιητῇ παρακειμένη, τῆς ζωῆς αἰτία· τῆς δὲ
ζωῆς πᾶς αἴτιος ὁ τῶν ἀθανάτων. πῶς οὖν καὶ τὰ θνητὰ ζῷα ἄλλα
τῶν θνητῶν. πῶς δὲ τὸ ἀθάνατον, καὶ ἀθανασίαν ποιοῦν, ζῷον μὴ
11 ποιεῖ. 11 Καὶ ὅτι μέν ἐστί τις ὁ ποιῶν ταῦτα, δηλονότι δὲ καὶ εἷς, φανε-
ρώτατον. καὶ γὰρ μία ψυχὴ, καὶ μία ζωὴ, καὶ μία ὕλη. τίς δὲ οὗτος; τίς δὲ ἂν

lius,quam vnus Deus? Cui etenim alij animata viuentia facere
cõpetit, niſi Deo ſoli? * o quã Ridiculum | ! Vnus itaq; Deus.
Atqui vnũ mundum eſſe faſſus es,vnumq; Solem, Lunã item
vnam,ac vnicam Diuinitatẽ.Ipſum itaq; Deũ quotum eſſe cu-
pis?Omnia igitur ipſe per multos efficeret,* Ridiculoſiſſimũ|.
[12] Quid enim Deo arduum eſt Vitã,Animam,Immortalitatẽ, 12
ac mutationẽ facere,te tot res faciente?Intueris quidẽ, loque-
ris,auſcultas,olfacis,tangis,circumambulas,intelligis,& ſpiras:
non autẽ alius videt,alius auſcultat,alius loquitur,* alius tãgit|,
alius olfacit,alius circũambulat,alius intelligit,& alius reſpirat.
Quinimo vnus hæc omnia facit. Veruntamẽ iſta ſine Deo eſſe
non poſſunt.Quemadmodum enim,his abrogatis,animal eſſe
deſinis:ita nec illis in ipſo ad irritum ductis, Deus, quod nefas
eſt dictu,vltra Deus erit. [13] Si itaq; demonſtratum ſit te nihil 13
eſſe poſſe,quãto magis,his abrogatis,Deus.Nã ſi quid ſit,quod
non efficiat,& ſi dictu nefas,imperfectus eſt.Quod ſi nõ otio-
ſus:quinimo perfectus ſit, omnia igitur efficit. Pauliſper mihi
teipſum indulge, o Herma. Expedite cognoſces opus vnum
Dei eſſe,vt omnia fiant quæ fiunt:aut quę iam ſemel facta ſunt,
aut quæ facienda ſunt. Hoc autem, o chariſſime vita eſt. Hoc
eſt Pulchrum:hoc eſt Bonum:hoc eſt Deus. [14] Quod ſi id effe- 14
ctu percipere cupis:conſpice,quid tibi generare volenti cõtin
git.Non attamen illi hoc ſimile.Nimirum ipſe nec oblectatur,
neq; alium quẽquam habet operis conſortẽ. ſibi nãq; ipſi aſſi-
ſtẽs opifex ſemper adeſt operi,ipſe quod efficit exiſtẽs. Quod
ſi ab eo diuellatur,omnia ſubuerti,omnia mori neceſſum eſt,vt
pote vita abſente.Si autẽ omnia viuunt,vnaq; ſit vita,vnus itaq;
Deus.Si rurſum cuncta viua ſint,cum in cœlo,tum in terra,vna
vero in omnib.vita a Deo ſit, ipſaq; Deus ſit, a Deo igitur oĩa
fiunt.Vita autem eſt mentis & animæ copula. Mors vero non
eſt cõpoſitorum abrogatio,ſed coniunctionis diſſolutio. [15] Id- 15
circo imago Dei Æuũ eſt,Æui mundus, Mundi Sol, Solis au-
tem homo. Mutationem ſane mortem eſſe dicunt: eo quod
corpus quidẽ diſſoluitur,vita vero diſſoluti latens pręterit.Hac
de cauſa, mihi chariſſime Herma, religioſe vt percipis mundũ
mutari dico: eo quod dieb. ſingulis pars eius oculos effugit:

ἄλλος, εἰ μὴ εἷς ὁ θεός. τίνι γὰρ ἂν ἄλλῳ πρέποι ζῷα ἔμψυχα
ποιεῖν, εἰ μὴ μόνῳ τῷ θεῷ. γελοιότατον. Εἷς οὖν θεός. Καὶ τὸν μὲν
κόσμον ὡμολόγησας ἕνα εἶναι, καὶ τὸν ἥλιον ἕνα, καὶ τὴν σελήνην μίαν,
καὶ θειότητα μίαν· αὐτὸν δὲ τὸν θεὸν, πόσον εἶναι θέλεις. Πάντα οὖν αὐ-
12 τὸς ποιεῖ ἐν † πολλοῖς· γελοιότατον. [12] Καὶ τί μέγα τῷ θεῷ, ζωὴν † πολλῷ·
καὶ ψυχὴν, καὶ ἀθανασίαν, καὶ μεταβολὴν ποιεῖν, σοῦ τοσαῦτα ποιοῦν-
τος. καὶ γὰρ βλέπεις, καὶ λαλεῖς, καὶ ἀκούεις, καὶ ὀσφραίνῃ, καὶ ἅπτῃ, καὶ περι-
πατεῖς, καὶ νοεῖς, καὶ πνεῖς· καὶ οὐχ ἕτερος μέν ἐστιν ὁ βλέπων, ἕτερος δὲ ὁ
ἀκούων, ἕτερος δὲ ὁ λαλῶν, ἄλλος δὲ ὁ ἁπτόμενος, ἄλλος δὲ ὁ ὀσ-
φραινόμενος, ἄλλος δὲ ὁ περιπατῶν· καὶ ἄλλος ὁ νοῶν, καὶ ἄλλος ὁ ἀ-
ναπνέων· ἀλλὰ εἷς ὁ ταῦτα πάντα. ἀλλὰ οὐδὲ δυνατὰ ἐκεῖνα χωρὶς
τοῦ θεοῦ εἶναι. ὥσπερ γὰρ ἂν τούτων καταργηθῇς, οὐκ ἔτι ζῶον εἶ, οὕ-
τως οὐδ᾽ ἂν ἐκείνων καταργηθῇ, ὁ θεὸς, ὃ μὴ θέμις ἐστὶν εἰπεῖν,
13 οὐκ ἔτι ἐστὶ θεός. [13] Εἰ γὰρ ἀποδέδεικται μηδὲν δυνάμενον εἶναι,
πόσῳ μᾶλλον ὁ θεός. εἰ γάρ τι ἐστὶν ὃ μὴ ποιεῖ, καὶ εἰ μὴ θέμις εἰπεῖν,
ἀτελής ἐστιν. εἰ δὲ μήτε ἀργός ἐστι, τέλειος δὲ, ἄρα πάντα ποιεῖ.
Πρὸς ὀλίγον δ᾽ ἄν μοι σεαυτὸν ἐπιδῷς ὦ Ἑρμῆ, ῥᾴδιον νοήσεις τὸ
τοῦ θεοῦ ἔργον ἓν ὂν, ἵνα πάντα γίνηται τὰ γινόμενα, ἢ τὰ ἅπαξ γε-
γονότα, ἢ τὰ μέλλοντα γίνεσθαι· ἔστι δὲ τοῦτο, ὦ φίλτατε, ζωή· τοῦ-
το δέ ἐστι τὸ καλόν· τοῦτό ἐστι τὸ ἀγαθόν· τοῦτό ἐστιν ὁ θεός.
14 [14] Εἰ δὲ καὶ ἔργῳ αὐτὸ θέλεις νοῆσαι, ἴδε τί σοι ἐγγίνεται θέλοντι
γεννῆσαι. ἀλλ᾽ οὐκ ἐκείνῳ τοῦτο ὅμοιον· ἐκεῖνος ἄρα οὐχ ἥδεται. οὐδὲ
γὰρ ἄλλον ἔχει συνεργόν. αὐτουργὸς γὰρ ὢν, ἀεί ἐστιν ἐν τῷ ἔργῳ, αὐ-
τὸς ὢν ὃ ποιεῖ. εἰ γὰρ χωρισθείη αὐτοῦ, πάντα μὲν συμπεσεῖσθαι,
πάντα δὲ τεθνήξεσθαι ἀνάγκη, ὡς μὴ οὔσης ζωῆς· εἰ δὲ πάντα ζῶα,
μία δὲ καὶ ἡ ζωὴ, εἷς ἄρα καὶ ὁ θεός. καὶ πάλιν εἰ πάντα ζῶά ἐστι, καὶ τὰ
ἐν οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ, μία δὲ κατὰ πάντων ζωὴ ὑπὸ τοῦ
θεοῦ γίνεται, καὶ αὕτη ἐστὶ θεός· ὑπὸ τοῦ θεοῦ ἄρα γίνεται πάν-
τα. ζωὴ δέ ἐστιν ἕνωσις νοῦ καὶ ψυχῆς. θάνατος δὴ, οὐκ ἀπώλεια
15 τῶν συναχθέντων, διάλυσις δὲ τῆς ἑνώσεώς ἐστι. [15] Τοίνυν εἰκὼν
τοῦ θεοῦ ὁ αἰών· τοῦ δὲ αἰῶνος ὁ κόσμος· τοῦ δὲ κόσμου ὁ ἥλιος· τοῦ
δὲ ἡλίου, ὁ ἄνθρωπος. τὴν δὲ μεταβολὴν θάνατόν φασιν εἶναι,
διὰ τὸ τὸ μὲν σῶμα διαλύεσθαι, τὴν δὲ ζωὴν εἰς τὸ ἀφανὲς χωρεῖν † τὰ
† τοῦ διαλυομένου. τούτῳ τῷ λόγῳ, φίλτατέ μοι Ἑρμῆ, καὶ τὸν διαλυό
κόσμον δεισιδαίμων, ὡς ἀκούεις, φημὶ μεταβάλλεσθαι, διὰ τὸ μενα.
γίνεσθαι μέρος αὐτοῦ καθ᾽ ἑκάστην ἡμέραν ἐν τῷ ἀφανεῖ,

non autē diſſoluitur. Hæ ſunt vtiq; mundi perturbationes, ver-
tigines, & latitationes. Vertigo autem conuerſio, latitatio vero
reſtauratio eſt. [16] Omnes autē formas nō equidem expoſitas 16
habens, ſed eas in ſeipſo varians. Quum igitur mundus in om-
nes formas factus ſit: hunc faciens quid erit? Informis quidem
non erit. Quod ſi omnis formæ fuerit, mundo ſimilis erit. At ſi
vnicam habeat formā, in hoc mundo inferior erit. Quid igitur
ipſum eſſe dicemus? Ne amabo te ſermonem ambiguitate cir-
cumuoluamus. Nihil enim eſt dubiū eorum quæ de Deo intel
liguntur. Vnam itaq; ideam habet, quæ ipſi peculiaris eſt, quæ-
quidē incorporea aſpectui non ſubſtat, & omnes per corpora
prodit. [17] Ne etiam mirū feceris, ſi quępiā incorporea ſit idea. 17
Eſt enim qualis dictionis, ac in picturis elationes. Vidētur nāq;
admodū ſuſtolli, planæ tamen ſuapte natura & adæquatę pror-
ſus exiſtūt. Intellige quod audacius dico, attamen verius. Quē-
admodum abſq; vita homo viuere nō poteſt: ita nec Deus eſſe
poteſt quin Bonū efficiat. Hoc enim vitæ inſtar & motus Deo
ineſt, omnia ſcilicet mouere ac viua efficere. [18] Aliqua nimirū 18
eorum quæ dicuntur, peculiarē ſententiā habere debent, quale
quod dico, Percipe. Omnia ſunt in Deo, non tanquam in loco
ſita. Nā locus & corpus eſt & immobile. Quæ vero ibi ſita ſunt,
motum non habent. Sita enim aliuſmodi ſunt in imaginatione
incorporea. Conſidera omnia cōplectentem: ac intellige nihil
rem incorpoream circunſcribere: nihil celerius, nihil potētius:
quinimo ipſam inter omnia circunſcribi non poſſe, eamq; ce-
lerrimā, ac potentiſſimam. [19] Et ita apud teipſum ſpeculare: & 19
tuæ animæ impera illo abire, & ocyus imperato ibidē erit. Pręci-
pe itē ei oceanum tranare: ſic ea rurſum ibi celerius erit, non
tanquam a loco in locum delata, ſed velut ibi exiſtens. Iube in
cœlum euolet. Nō alis egebit. Sed neq; ipſi quicquam obeſt:
non Solis ardor, non æther, non volubilitas, non cæterorum a-
ſtrorum corpora, vniuerſa quidē penetrās ad nouiſſimum vſq;
corpus ꝓuolat. Quod ſi hoc vniuerſum perrūpere volueris, &
quæ foris (ſiquidem quid foris ſit) ſpeculari, tibi licet. [20] Cōſpi- 20
ce quantam virtutem, quantam velocitatem habes. Tādem tu
hæc potes. Deus autem nequaquam? Hoc itaq; modo Deum

μηδέποτε διαλύεσθαι. καὶ ταῦτά ἐστι τὰ τοῦ κόσμου πάθη, δινή-
σεις τε καὶ κρύψεις· καὶ ἡ μὲν δίνησις, στροφή· ἡ δὲ κρύψις ἀνα-
16 νέωσις. [16] Παντόμορφος δέ ἐστιν οὐ τὰς μορφὰς † ἐκκειμένας † ἐξ-
ἔχων, ἐν ἑαυτῷ δὲ αὐτὸς μεταβάλλων. ἐπεὶ οὖν ὁ κόσμος παν-
τόμορφος γέγονεν, ὁ ποιήσας τί ἂν εἴη. ἄμορφος μὲν γὰρ μὴ γέ-
νοιτο· εἰ δὲ καὶ αὐτὸς παντόμορφος, ὅμοιος ἔσται τῷ κόσμῳ. ἀλ-
λὰ μίαν ἔχων μορφὴν, κατὰ τοῦτο ἐλάττων ἔσται τοῦ κόσμου. τί οὖν
φαμὲν αὐτὸν εἶναι· μὴ εἰς ἀπορίαν τὸν λόγον περιστήσωμεν. οὐδὲν
γὰρ ἄπορον περὶ τοῦ θεοῦ νοούμενον. μίαν οὖν ἔχει ἰδέαν, ἥτις
ἐστὶν αὐτοῦ ἰδία, ἥτις ταῖς ὄψεσιν οὐχ ὑποσταίη ἀσώματος, καὶ πά-
17 σας διὰ τῶν σωμάτων δείκνυσι. [17] Καὶ μὴ θαυμάσῃς, εἰ ἔστι
τις ἀσώματος ἰδέα. ἔστι γὰρ ὥσπερ ἡ τοῦ λόγου, καὶ ἐν ταῖς γρα-
φαῖς ἀκρώρειαι. ὁρῶνται μὲν γὰρ πάνυ ἐξέχουσαι· λεῖαι δὲ τῇ
φύσει, καὶ ὁμαλαί εἰσι παντελῶς. ἐννόησον δὲ τὸ λεγόμενον
τολμηρότερον, ἀληθέστερον δέ. ὥσπερ γὰρ ὁ ἄνθρωπος χωρὶς
ζωῆς οὐ δύναται ζῆν, οὕτως οὐδὲ ὁ θεὸς δύναται, μὴ ποιῶν τὸ ἀ-
γαθόν. τοῦτο γὰρ, ὥσπερ ζωὴ, καὶ ὥσπερ κίνησίς ἐστι τοῦ θεοῦ,
18 κινεῖν τὰ πάντα καὶ ζωοποιεῖν. [18] Ενια δὲ τῶν λεγομένων, ἰδίαν
ἔννοιαν ἔχειν ὀφείλει· οἷον ὃ λέγω, νόησον· πάντα ἐστὶν ἐν τῷ
θεῷ, οὐχ ὡς ἐν τόπῳ κείμενα. ὁ μὲν γὰρ τόπος, καὶ σῶμά ἐστι,
καὶ ἀκίνητον· καὶ τὰ κείμενα, κίνησιν οὐκ ἔχει. κεῖται γὰρ ἄλλως
ἐν ἀσωμάτῳ φαντασίᾳ· νόησον τὸν περιέχοντα τὰ πάντα, καὶ νόη-
σον, ὅτι τοῦ ἀσωμάτου οὐδὲν ἐστι περιοριστικὸν, οὐδὲ ταχύτερον,
οὐδὲ δυνατώτερον. αὐτὸ δὲ πάντων καὶ ἀπεριόριστον, καὶ ταχύ-
19 τατον, καὶ δυνατώτατον. [19] Καὶ οὕτω νόησον ἀπὸ σεαυτοῦ, καὶ
κέλευσόν σου τῇ ψυχῇ ἐκεῖσε πορευθῆναι, καὶ ταχύτερόν σου τῆς
κελεύσεως ἐκεῖ ἔσται. μετελθεῖν δὲ αὐτῇ κέλευσον ἐπὶ τὸν ὠκεα-
νόν· οὕτως ἐκεῖ πάλιν ταχέως ἔσται· οὐχ ὡς μεταβᾶσα ἀπὸ τό-
που εἰς τόπον, ἀλλ᾽ ὡς ἐκεῖ οὖσα. κέλευσον δὲ αὐτῇ καὶ εἰς τὸν
οὐρανὸν ἀναπτῆναι· καὶ οὐδὲ πτερῶν δεηθήσεται· ἀλλ᾽ οὐδὲ αὐτῇ
οὐδὲν ἐμπόδιον· οὐ τὸ τοῦ ἡλίου πῦρ, οὐχ ὁ αἰθὴρ, οὐχ ἡ δίνη,
οὐχὶ τὰ τῶν ἄλλων ἀστέρων σώματα. πάντα δὲ διατεμοῦσα, ἀνα-
πτήσεται μέχρι τοῦ ἐσχάτου σώματος. εἰ δὲ βουληθείης καὶ αὐτὸ
ὅλον διαρρήξασθαι, καὶ τὰ ἐκτὸς, εἴγε τι ἐκτὸς, τοῦ κόσμου θεάσα-
20 σθαι, ἔξεστί σοι. [20] Ἴδε ὅσην δύναμιν, ὅσον τάχος ἔχεις. εἶτα σὺ
μὲν δύνασαι ταῦτα, ὁ θεὸς δὲ οὔ; τοῦτον οὖν τὸν τρόπον νόησον τὸν θεόν,

considera, tanquam omnes intelligentias in se habentem, ac mundum ipsum totum. Proinde nisi teipsum Deo contuleris, Deum cognoscere nõ potes. Simile nãq; per similia noscitur. Effer teipsum magnitudine immensa, toto prosiliens corpore, & omne corpus transcendens, æuum esto, & Deum intelliges. Nihil teipsum non posse supponens te immortalem arbitrare, ac omnia intelligendi capacem, omnem quidem artem, omnẽ sciẽtiam,* omnis animalis habitus|. Omni altitudine sublimior fias, omni infimo humilior. Omnes item sensus eorum quæ facta sunt in teipso cõplectere, ignis, aquæ, sicci, & humidi, ac te pariter vbiq; esse existima, in terra, in mari, in cœlo,* nõ adhuc natum, in vtero esse, iuuenem, senem, mortuum, & quæ a morte succedunt|. Hæc autem cuncta simul intelligens, tempora, loca, opera, qualitates, quantitates, tum demum cognoscere Deum poteris. [21] Quod si tuam animam corpore constrin- 21
xeris: ac ipsam abijciens dixeris. Nihil scio: nihil possum: mare expauesco: in cœlum scandere non valeo: ignoro quis eram: ignoro quis ero. Quid tibi & Deo? Nihil etenim eorum quæ pulchra & bona sunt potes percipere, corporis cultor ac nequam existens. Completa namque malitia, ignorare Diuinitatem est. Cognoscere autem, velle, ac sperare posse, via recta est, Boni peculiaris, trita, ac facilis: tibi iter agenti vbique obuiã erit: vbique apparebit: quo & quando non expectas, experrecto, dormienti, nauiganti, iter facienti, noctu, diu, loquenti, silenti. Nam nihil est, quod in imagine sepulchri non sit. [22] Non 22
igitur videri potest Deus? Bene ominare. Quisnam ipso manifestior? In hoc ipsum omnia operatus est: vt per omnia ipsum cernas. Hoc Bonum Dei est. Hoc equidem ipsius virtus, ipsum per omnia manifestari. Nimirum incorporeorum nullum videri potest. Mens in meditando cernitur, Deus in faciendo. Hactenus tibi hæc patefacta sunto, o Trismegiste. Cætera autem omnia per teipsum pariter speculare, & non frustraberis.

ὥσπερ νοήματα πάντα ἐν ἑαυτῷ ἔχειν, τὸν κόσμον † αὐτὸν ὅλον. † ἑαυτὸν
ἐὰν οὖν μὴ σεαυτὸν ἐξισάσῃς τῷ θεῷ, τὸν θεὸν νοῆσαι οὐ δύνασαι.
τὸ γὰρ ὅμοιον τῶν ὁμοίων νοητόν. συναύξησον σεαυτὸν τῷ ἀμετρήτῳ
μεγέθει, παντὸς σώματος ἐκπηδήσας, καὶ πάντα χρόνον ὑπερά-
ρας· αἰὼν γενοῦ, καὶ νοήσεις τὸν θεόν· μηδὲν ἀδύνατον ἐν σεαυτῷ
ὑποστησάμενος, σεαυτὸν ἥγησαι ἀθάνατον, καὶ πάντα δυνάμενον
νοῆσαι, πᾶσαν μὲν τέχνην, πᾶσαν δὲ ἐπιστήμην, παντὸς ζώου ἦ-
θος. παντὸς δὲ ὕψους ὑψηλότερος γενοῦ, καὶ παντὸς βάθους ταπει-
νότερος. πάσας δὲ τὰς αἰσθήσεις τῶν ποιητῶν σύλλαβε ἐν σεαυτῷ,
πυρὸς, ὕδατος, ζηροῦ, καὶ ὑγροῦ· καὶ ὁμοῦ πανταχῆ εἶναι, ἐν γῇ, ἐν
θαλάττῃ, ἐν οὐρανῷ, μηδέπω γεγενῆσθαι, ἐν τῇ γαστρὶ εἶναι, νέος,
γέρων, τεθνηκέναι, τὰ μετὰ τὸν θάνατον· καὶ ταῦτα πάντα ὁμοῦ
νοήσας, χρόνους, τόπους, πράγματα, ποιότητας, ποσότητας, δύνα-
21 σαι νοῆσαι τὸν θεόν. 21 Ἐὰν δὲ κατακλείσῃς σου τὴν ψυχὴν ἐν
τῷ σώματι, καὶ ταπεινώσῃς αὐτὴν, καὶ εἴπῃς, οὐδὲν νοῶ, οὐδὲν δύ-
ναμαι, φοβοῦμαι τὴν θάλασσαν, εἰς τὸν οὐρανὸν ἀναβῆναι οὐ δύνα-
μαι· οὐκ οἶδα τίς ἤμην, οὐκ οἶδα τίς ἔσομαι. τί σοι, καὶ τῷ θεῷ.
οὐδὲν γὰρ δύνασαι τῶν καλῶν καὶ ἀγαθῶν, φιλοσώματος καὶ κακὸς
ὢν νοῆσαι· ἡ γὰρ τελεία κακία, τὸ ἀγνοεῖν τὸ θεῖον· τὸ δὲ δύνα-
σθαι γνῶναι καὶ θελῆσαι καὶ ἐλπίσαι, ὁδός ἐστιν εὐθεῖα, ἰδία τοῦ ἀ-
γαθοῦ, καὶ φέρουσα, καὶ ῥᾳδία ὁδεύοντί σοι πανταχοῦ συναντήσει,
πανταχοῦ ὀφθήσεται ὅπου τε καὶ ὅτε οὐ προσδοκᾷς, γρηγοροῦντι,
κοιμωμένῳ, πλέοντι, ὁδεύοντι, νυκτὸς, ἡμέρας, λαλοῦντι, σιωπῶντι.
22 οὐδὲν γάρ ἐστιν, ὃ οὐκ ἔστιν ἐν εἰκόνι ταφῆς. 22 Ἀόρατος ὁ θεός; εὐ-
φήμησον. καὶ τίς αὐτοῦ φανερώτατος. δι' αὐτὸ τοῦτο πάντα ἐποίησεν,
ἵνα διὰ πάντων αὐτὸν βλέπῃς. τοῦτό ἐστι τὸ ἀγαθὸν τοῦ θεοῦ· τοῦ-
το δὲ αὐτοῦ ἀρετὴ, τὸ αὐτὸν φαίνεσθαι διὰ πάντων. οὐδὲν γὰρ ὁρα-
τὸν, οὐδὲ τῶν ἀσωμάτων· νοῦς ὁρᾶται ἐν τῷ νοεῖν, ὁ θεὸς ἐν τῷ
ποιεῖν. ταῦτά σοι ἐπὶ τοσοῦτον πεφανέρωται, ὦ τρισμέγιστε. τὰ δὲ
ἄλλα πάντα, ὁμοίως κατὰ σεαυτὸν νόει, καὶ οὐ διαψευσθήσῃ.

K

MERCVRII TRISMEGISTI,
DE MENTE COMMVNI, AD TAT,
CAPVT DVODECIMVM.

Mens, o Tat, ex propria essentia Dei est. Aliqua siquidem est Dei essentia: qualiscunq; tamē illa sit: hæc ipsum sola absolute nouit. Mens vtiq; ab essentiæ Dei habitu non est præcisa: quinetiam velut diffusa, Solis splendoris instar. Hæc autē mens in hominibus quidem Deus est, ea de causa aliqui hominū Dij sunt, ac ipsorū humanitas Diuinitati est confinis. Bonus nāq; Genius hos quidē Deos immortales dixit, homines autē Deos mortales. In animantib. vero irrationalibus, natura hæc 1
est mens. [2] Vbi namq; anima, ibi & mens est: ac vbi vita, ibi anima. 2
Sed in animalib. ratione destitutis, anima vita est mentis expers. Nā in hominum animas benefica mens est: eas etenim in bonum excolit. Ast in irrationalib. cum singulorum natura conspirat, hominum autē animab. refragatur. Nimirum omnis anima in corpus manans, confestim mœrore & voluptate deprauatur. a corpore nāq; cōposito mœror & voluptas ac succus exæstuant: in quę anima ingressa mergitur. [3] Quibuslibet 3
igitur animabus mens præfuerit, illas suo lumine illustrat, obsistens instantib. ipsorum periculis. Vtque bonus chirurgus prę-uentum morbo corpus angit, illud incendens aut dissecans: haud secus animā molestia mens afficit, sensim ipsius voluptatem resecans, a qua omnis animæ prodit ægritudo. Animæ vero summa infirmitas, atheismus. Inde ad omnes nequitias opinio subsequitur, nullum autem bonum. Num igitur mens ipsi refragans bonum animæ confert, ceu corpori valetudinē medicus? [4] Quotquot autem animæ humanæ mentē moderatri- 4
cem non assequutæ sunt, idem ferunt quod animantiū ratione destitutorum animæ. Operis nāq; consors ipsis existens, & cupiditates excitans, ad quas effrenato feruntur appetitu, ad rationis spretum vergētes, velut animantium irrationale, præter rationem ira succendi, ac præter rationē cupere non desinunt:

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ, ΠΕΡΙ ΝΟΥ ΚΟΙΝΟΥ ΠΡΟΣ ΤΑΤ.

1 ΟΝΟΥΣ, ὦ Τάτ, ἐξ αὐτῆς τῆς τοῦ θεοῦ οὐ-
σίας ἐστὶν, εἴγέ τις ἐστὶν οὐσία θεοῦ, καὶ
ποιά τις οὖσα τυγχάνει. οὗτος μόνος ἀκριβῶς
αὐτὸν οἶδεν. ὁ νοῦς οὖν οὐκ ἔστιν ἀποτετμη-
μένος τῆς οὐσιότητος τοῦ θεοῦ· ἀλλ' ὥσπερ
ἡπλωμένος, καθάπερ τὸ τοῦ ἡλίου φῶς. οὗ-
τος δὲ ὁ νοῦς, ἐν μὲν ἀνθρώποις, θεός ἐστι·
διὸ καί τινες τῶν ἀνθρώπων, θεοί εἰσι· καὶ † αὐτῶν ἀνθρωπό- † ἡ αὐτοῦ
της ἐγγύς ἐστι τῆς θεότητος. καὶ γὰρ ὁ ἀγαθὸς δαίμων, τοὺς μὲν
θεοὺς εἶπεν ἀθανάτους· τοὺς δὲ ἀνθρώπους θεοὺς θνητούς· ἐν
2 δὲ τοῖς ἀλόγοις ζώοις, ἡ φύσις ἐστίν. [2] Ὅπου γὰρ ψυχὴ, ἐκεῖ
καὶ νοῦς ἐστὶν, ὥσπερ ὅπου καὶ ζωὴ, ἐκεῖ καὶ ψυχή ἐστιν· ἐν δὲ
τοῖς ἀλόγοις ζώοις ἡ ψυχὴ ζωή ἐστι κενὴ τοῦ νοῦ. ὁ γὰρ νοῦς ψυ-
χῶν ἐστὶν εὐεργέτης ἀνθρώπων. ἐργάζεται γὰρ αὐτὰς εἰς τὸ ἀγα-
θὸν, καὶ τοῖς μὲν ἀλόγοις, τῇ δι' ἑκάστου φύσει συνεργεῖ· ταῖς δὲ
τῶν ἀνθρώπων, ἀντιπράσσει. ψυχὴ γὰρ πᾶσα ἐν σώματι γενο-
μένη, εὐθέως ὑπό τε τῆς λύπης καὶ τῆς ἡδονῆς κακίζεται. σώ-
ματος γὰρ συνθέτου, ὥσπερ χυμοὶ ζέουσιν, ἥ τε λύπη καὶ ἡ ἡδο-
3 νὴ, εἰς ἃς ἐμβᾶσα ἡ ψυχὴ βαπτίζεται. [3] Ὅσαις ἂν οὖν ψυ-
χαῖς ὁ νοῦς ἐπιστατήσῃ, ταύταις φαίνει ἑαυτοῦ τὸ φέγγος, ἀντι-
πράσσων αὐτῶν τοῖς προλήμμασιν, ὥσπερ ἰατρὸς ἀγαθὸς λυπεῖ
τὸ σῶμα προειλημμένον ὑπὸ νόσου, καίων, ἢ τέμνων· τὸν αὐ-
τὸν τρόπον καὶ ὁ νοῦς ψυχὴν λυπεῖ, ἐξυφαιρῶν αὐτῆς τὴν ἡδο-
νὴν, ἀφ' ἧς πᾶσα νόσος ψυχῆς γίνεται. νόσος δὲ μεγάλη ψυχῆς,
ἀθεότης· ἔπειτα δόξα εἰς πάντα τὰ κακὰ ἐπακολουθεῖ, καὶ ἀ-
γαθὸν οὐδέν. ἆρ' οὖν ὁ νοῦς ἀντιπράσσων αὐτῇ, τὸ ἀγαθὸν περι-
ποιεῖται τῇ ψυχῇ, ὥσπερ καὶ ὁ ἰατρὸς τῷ σώματι τὴν ὑγίειαν;
4 [4] Ὅσαι δὲ ψυχαὶ ἀνθρώπιναι οὐκ ἔτυχον κυβερνήτου τοῦ νοῦ, τὸ
αὐτὸ πάσχουσι ταῖς τῶν ἀλόγων ζώων. συνεργὸς γὰρ αὐταῖς γενό-
μενος, καὶ ἀνέσας τὰς ἐπιθυμίας, εἰς ἃς φέρονται τῇ ῥύμῃ τῆς
ὀρέξεως, πρὸς τὸ ἄλογον συντείνουσας, ὥσπερ τὸ ἄλογον τῶν
ζώων, ἀλόγως θυμούμεναι, καὶ ἀλόγως ἐπιθυμοῦσαι οὐ παύονται·

& nunquã malis ſatiantur. * Affectus nãq; & cupiditates ratio-
nis expertes nequitiæ ſunt exuberantes|. Illis Deus legem pręſ-
ſcripſit, velut vltorẽ & vindicem. [5] In his, o Pater, mentio dudũ 5
mihi de fato expoſita, proſterni periclitatur. Nã ſi prorſus fatũ
decernat quempiã mœchari, ſacra legere, * vel quicquã aliud
mali patrare |: cur is qui fati neceſſitate patrauit opus, mulcta-
tur? Fati nimirum, o fili, cuncta ſunt opera: ac præter hoc nihil
corporeorum neq; bonum neq; malũ fieri conuenit. Fato autẽ
ſtatutum eſt, eum, qui male agit, pati, ac ideo molitur, vt patia-
tur, quod ſuffert, quia patrauit. [6] Vt autẽ ſe nunc res habet, de 6
malitia & fato mentio fuit. Alibi nãq; de ijs diximus. Nunc ve-
ro de mente nobis eſt loquutio: quid poſſit mens: ac quantum
differat: in hominib. qualis, in brutis vero aliter. Ac rurſũ quod
in animantib. ratione deſtitutis non eſt benefica: quinimo diſ-
crepat, in hominib. iracundiã & cupiditatem ſuffocans. Et ho-
rum alios quidem rationis participes viros intelligere decet,
alios vero irrationales. Homines tamen omnes fato ſubijciun-
tur, geneſi, & mutationi. [7] Hæc autem initium & finis fati exi- 7
ſtunt. Omnes em̃ homines fatalia ferunt. Elegantes autẽ quib.
mentẽ pręeſſe diximus, non perinde ac alij patiuntur: quinetiã
nequitiam abhorrentes, nec mali exiſtentes ſufferunt. Quî de-
nuo ais, o Pater, adulter num malus, homicida num malus, * &
reliqui omnes| ? Atqui eximius ille, o fili, nõ adulter, tolerabit,
aſt velut adulter, nec homicida, ſed tanquã homicida. Nã qua-
litatis mutatio vitari non poteſt, nec generationis. Nequitiam
autẽ mentem habenti fugere licet. [8] Bonum itaq; geniũ, o fili, 8
ſemper dicentẽ audiui, quæ ſi literis cõmendaſſet, admodum
humanum genus ſubleuaſſet. Ille namq; vnicus, o fili, vere tan-
quam primo-genitus Deus omnia intuitus, Diuina verba effa-
tus eſt. Audiui quippe eum quondam dicentẽ, vnum eſſe om-
nia, præcipue corpora intelligibilia. Viuimus quidẽ potentia,
efficacia, & æuo. Mens itaq; huius Deus eſt: quæ & ipſius eſt
anima. Hoc poſito, nihil ab intelligibilib. ſemotũ eſt, maxime
cum fieri poſſit, mentem omnib. dominantem ac animam Dei
exiſtentem, quæ vult exequi. [9] Tu vero conſidera, & hunc ſer- 9
monem ad quæſtionem, quam a me dudum ſiſcitabaris, reduc,

καὶ οὐδὲν κόρον ἔχουσι τοῦ κακοῦ. θυμοὶ γὰρ καὶ ἐπιθυμίαι ἄλογοι, κακίαι ὑπερβάλλουσαι. ταύταις δὲ ὥσπερ τιμωρὸν καὶ ἔλεγχον,
5 ὁ θεὸς ἐπέστησε τὸν νόμον. [5] Ἐνταῦθα, ὦ πάτερ, ὁ περὶ τῆς εἱμαρμένης λόγος ὁ ἔμπροσθέν μοι ἐξεληλυθὼς, κινδυνεύει ἀνατρέπεσθαι. εἰ γὰρ πάντως εἵμαρται τῷ δέ τινι μοιχεῦσαι, ἢ ἱεροσυλῆσαι, ἢ ἄλλό τι κακὸν δρᾶσαι, διὰ τί κολάζεται ὁ ἐξ ἀνάγκης τῆς εἱμαρμένης δράσας τὸ ἔργον. Εἱμαρμένης γὰρ πάντα τὰ ἔργα, ὦ τέκνον, καὶ χωρὶς ἐκείνης οὐδέν τι τῶν σωματικῶν, οὔτε ἀγαθὸν, οὔτε κακὸν γενέσθαι συμβαίνει. εἵμαρται δὲ καὶ τὸ κακὸν ποιήσαντα, τὸ παθεῖν. καὶ διὰ τοῦτο δρᾷ, ἵνα πάθῃ ὃ πάσχει, ὅτι ἔδρασε.

6 [6] Τὸ δὲ νῦν ἔχον, ὁ περὶ κακίας καὶ εἱμαρμένης λόγος· ἐν ἄλλοις μὲν περὶ τούτων εἰρήκαμεν· νῦν δὲ περὶ νοῦ ἐστὶν ἡμῖν ὁ λόγος, τί δύναται νοῦς, καὶ πῶς ἐνδιάφορός ἐστιν, ἐν μὲν ἀνθρώποις τοιόσδε· ἐν δὲ τοῖς ἀλόγοις, ἠλλαγμένος· καὶ πάλιν, ὅτι ἐν μὲν τοῖς ἀλόγοις ζώοις οὐκ ἔστιν ἐνεργητικὸς, ἀλλ' ἀνόμοιος ἐν † αὐ- † πᾶσι
δρᾶσι, τό, τε θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν σβεννύων. καὶ τούτων, τοὺς μὲν, ἐλλογίμους ἄνδρας δεῖ νοεῖν· τοὺς δὲ, ἀλόγους. πάντες δὲ οἱ ἄνθρωποι εἱμαρμένῃ ὑπόκεινται καὶ γενέσει, καὶ μεταβολῇ. ἀρχὴ
7 γὰρ καὶ τέλος ταῦτα εἱμαρμένης. [7] Καὶ πάντες μὲν ἄνθρωποι πάσχουσι τὰ εἱμαρμένα· οἱ δὲ ἐλλόγιμοι, ὧν ἔφαμεν τὸν νοῦν ἡγεμονεύειν, οὐχ ὁμοίως τοῖς ἄλλοις πάσχουσιν· ἀλλὰ τῆς κακίας ἀπηλλαγμένοι, οὐ κακοὶ ὄντες πάσχουσι. Πῶς πάλιν λέγεις, ὦ πάτερ, ὁ μοιχὸς, οὐ κακός; ὁ φονεὺς, οὐ κακός; καὶ οἱ ἄλλοι πάντες; Ἀλλ' ὁ ἐλλόγιμος, ὦ τέκνον, οὐ μοιχεύσας πείσεται, ἀλλ' ὡς μοιχεύσας, οὐδὲ φονεύσας, ἀλλ' ὡς φονεύσας. καὶ ποιότητα μεταβολῆς ἀδύνατόν ἐστι διεκφυγεῖν, ὥσπερ καὶ γενέσεως. κακίαν δὲ τῷ νοῦν ἔχοντι διεκφυγεῖν ἔστι.

8 [8] Διὸ καὶ τοῦ ἀγαθοῦ δαίμονος, ὦ τέκνον, ἐγὼ ἤκουσα λέγοντος ἀεί· καὶ εἰ ἐγγράφως ἐδεδώκει, πάνυ ἂν τὸ τῶν ἀνθρώπων γένος ὠφελήκει. ἐκεῖνος γὰρ μόνος, ὦ τέκνον, ἀληθῶς, ὡς πρωτόγονος θεὸς, τὰ πάντα κατιδὼν, θείους λόγους ἐφθέγξατο. ἤκουσα γοῦν αὐτοῦ ποτὲ
λέγοντος, ὅτι ἓν ἐστι τὰ πάντα, καὶ μάλιστα νοητὰ σώματα· ζῶμεν † ἀγα-
δὲ δυνάμει, καὶ ἐνεργείᾳ, καὶ αἰῶνι. καὶ ὁ νοῦς τούτου † ἄρα θεός ἐστιν, θός
† ὅσπερ ἐστὶν αὐτοῦ καὶ ψυχή· τούτου δὲ τοιούτου ὄντος, οὐδὲν διαστατὸν † ὅπερ
τῶν νοητῶν· ὡς οὖν δυνατὸν νοῦν, ἄρχοντα πάντων, καὶ ψυχὴν ὄντα τοῦ ἐστι
9 θεοῦ, ποιεῖν ὅπερ † βούλεται. [9] Σὺ δὲ νόει, καὶ τὸν λόγον τοῦτον † βύλε-
ἀνένεγκαι πρὸς τὴν πεῦσιν, ἣν ἐπύθου μου ἐν τοῖς ἔμπροσθεν· ται.

de mentis inquam fato. Nā ſi litigioſa verba ſemoueris accurate, o fili, haud dubie cōperies mētem Dei animam omnib. imperare, * cum fato |, tum legi, ac cæteris omnibus. Nihilq; illi vltra potentiam eſſe, neq; humanam animā fato ſuperponere, * neq; eādem ea quæ illi cōgruunt aſpernantē fato ſubiugare|. Hæc quidē hactenus boni Dæmonis optima dicta ſunto. Hæc Diuinitus, o Pater, vere, ac frugaliter. [10] Id quidē mihi etiam patefac. Dicebas nāq; in animantib. ratione deſtitutis, mētem naturæ officiū exequi, vna cum eorum affectib. operantē. Animalium autē irrationabilium affectus, ni fallor, paſſiones ſunt. * Si autē mens cum affectib. operetur, affectus vero paſſiones ſunt| : mens itaq; paſſionib. concolor, paſſio erit. Euge, o fili, ingenue percuntaris, æquū eſt & me reſpōdere. [11] Omnia, o fili, incorporea quæ in corpore, patibilia ſunt, ac ipſa proprie paſſiones ſunt. Omne namq; mouens corpore vacat. Omne vero motum, corpus. Incorporea autē a mente mouētur, motus vero paſſio eſt. Vtraq; nimirum patiuntur, & mouens ac motum, aliud quidē imperans, aliud obediens. Corpore vero liber, & paſſione liber eſt. Quinimo, o fili, quandoq; nihil eſt paſſionis exors: aſt omnia patibilia ſunt. Diſcrepat autē a patibili paſſio. Alterū etenim agit, alterum vero patitur. Corpora autem per ſeipſa operantur, aut equidem immobilia ſunt, aut mouentur. vtrunlibet fuerit, paſſio eſt. Incorporea vero ſemper operātur, ac proinde patibilia ſunt. Ne ideo te denominationes cōfundant. nā actio & paſſio idem ſunt, fauſtiore tamen vti nomine graue non erit. [12] Planiſſime, o Pater, ſermonem demōſtraſti. Illud quoq;, o fili, conſpice. Deum nēpe duo hæc homini contuliſſe præter mortalia animantia cuncta, mentē ſcilicet ac verbum, immortalitate paria.* Enunciatiuū enim verbum habet|. Si igitur quiſpiam hiſce, vt decet, vſus ſit: nihilo ab immortalib. diſcrepat: quinetiā corpore liberatus, ab vtroq; ad Deorum & beatorum cœtum deducetur. [23] Reliqua autem animantia, o Pater, nū verbo vtuntur? Non, fili, ſed voce. Prorſus nāq; a voce verbum ſegregatur. Cōmune enim hominibus cunctis verbum : vox autē ſingulis animantium generib. propria. Verū ac hominibus, o Pater, per ſingulas nationes differens eſt verbū?

λέγω δὲ περὶ τῆς εἱμαρμένης τοῦ νοῦ. ἐὰν γὰρ τοὺς ἐριστικοὺς λό-
γους ἀκριβῶς ἀφέλῃ, ὦ τέκνον, εὑρήσεις ὅτι ἀληθῶς πάντων ἐπι-
κρατεῖ ὁ νοῦς, ἡ τοῦ θεοῦ ψυχὴ, καὶ εἱμαρμένης, καὶ νόμου, καὶ τῶν
ἄλλων πάντων· καὶ οὐδὲν αὐτῷ ἀδύνατον, οὔτε εἱμαρμένης ὑπερά-
νω † θεῖναι ψυχὴν ἀνθρωπίνην, οὔτε ἀμελήσασαν ἅπερ συμβαί- † θεν
νει, ὑπὸ τὴν εἱμαρμένην † θεῖναι. καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον λε- οὖν
λέχθω † τὰ τοῦ ἀγαθοῦ δαίμονος ἄριστα. † Καὶ θείως, ὦ πάτερ, ταῦ- † εἶναι.
10 τα, καὶ ἀληθῶς καὶ ὠφελίμως. [10] Ἐκεῖνο δέ μοι ἔτι διασά- † Τὰ
φησον. ἔλεγες γὰρ τὸν νοῦν ἐν τοῖς ἀλόγοις ζώοις, φύσεως δίκην † καὶ
ἐνεργεῖν, συνεργοῦντα αὐτῶν ταῖς ὁρμαῖς· αἱ δὲ ὁρμαὶ τῶν ἀλό-
γων ζώων ὡς οἶμαι, πάθη εἰσίν· εἰ δὲ καὶ ὁ νοῦς συνεργεῖ ταῖς
ὁρμαῖς, αἱ δὲ ὁρμαὶ πάθη, καὶ ὁ νοῦς ἄρα πάθος ἐστὶ, συσχηματί-
ζων τοῖς πάθεσιν. Εὖγε, ὦ τέκνον, γενναίως πυνθάνῃ· δίκαιον
11 δὲ κἀμὲ ἀποκρίνασθαι. [11] Πάντα, ὦ τέκνον, τὰ ἐν σώματι ἀσώ-
ματα, παθητὰ, καὶ κυρίως αὐτά ἐστι πάθη. πᾶν γὰρ τὸ κινοῦν, ἀ-
σώματον· πᾶν δὲ τὸ κινούμενον, σῶμα. καὶ τὰ ἀσώματα δὲ κινεῖ-
ται ὑπὸ τοῦ νοῦ· κίνησις δὲ, πάθος. πάσχει οὖν ἀμφότερα, καὶ τὸ
κινοῦν, καὶ τὸ κινούμενον· τὸ μὲν ἄρχον, τὸ δὲ ἀρχόμενον· ἀπαλλα-
γεὶς δὲ τοῦ σώματος, ἀπηλλάγη καὶ τοῦ πάθους. μᾶλλον δὲ ποτε, ὦ
τέκνον, οὐδὲν ἀπαθές· πάντα δὲ παθητά. διαφέρει δὲ πάθος παθη-
τοῦ. τὸ μὲν γὰρ ἐνεργεῖ, τὸ δὲ πάσχει· τὰ δὲ σώματα, καὶ καθ᾿
αὑτὰ ἐνεργεῖ. ἢ γὰρ ἀκίνητά ἐστιν ἢ κινεῖται· ὁπότερον δὲ ἂν ᾖ, πά-
θος ἐστί· τὰ δὲ ἀσώματα, ἀεὶ ἐνεργεῖται. καὶ διὰ τοῦτο παθητά ἐστι.
μὴ οὖν σε αἱ προσηγορίαι ταραττέτωσαν· ἥ τε γὰρ ἐνέργεια καὶ τὸ πά-
θος, ταυτόν ἐστιν· εὐφημοτέρῳ δὲ τῷ ὀνόματι χρήσασθαι, οὐ λυπεῖ.
12 [12] Σαφέστατα, ὦ πάτερ, τὸν λόγον ἀποδέδωκας. Κἀκεῖνο δὲ ὅ-
ρα, ὦ τέκνον, ὅτι δύο ταῦτα τῷ ἀνθρώπῳ ὁ θεὸς παρὰ πάντα τὰ
θνητὰ ζῷα ἐχαρίσατο τόν τε νοῦν καὶ τὸν λόγον, ἰσότιμα τῇ ἀθα-
νασίᾳ· τὸν δὲ προφορικὸν λόγον ἔχει. τούτοις δὲ εἴτις χρήσαιτο
εἰς ἃ δεῖ, οὐδὲν τῶν ἀθανάτων διοίσει· μᾶλλον δὲ καὶ ἐξελθὼν
ἐκ τοῦ σώματος, ὁδηγηθήσεται ὑπὸ ἀμφοτέρων, εἰς τὸν τῶν θεῶν
13 καὶ μακάρων χορόν. [13] Τὰ γὰρ ἄλλα ζῷα, λόγῳ οὐ χρῆται,
ὦ πάτερ; Οὔ τέκνον, ἀλλὰ φωνῇ. πάμπολυ δὲ διαφέρει
λόγος φωνῆς. ὁ μὲν γὰρ λόγος, κοινὸς πάντων ἀνθρώπων· ἰ-
δία δὲ ἑκάστου φωνή ἐστι γένους ζώου. Ἀλλὰ καὶ τῶν
ἀνθρώπων, ὦ πάτερ, ἕκαστον κατὰ ἔθνος διάφορος ὁ λόγος.

Differens equidẽ,o fili.* Sed vt vnus eſt homo|: ita & verbum vnum eſt:quod explicatũ,idem in Ægipto, Perſide,& Gręcia, eſſe cõperitur. Videris autẽ mihi,o fili,vires, & amplitudinem ignorare verbi.Beatus nãq; Deus Bonus Dæmon, animã quidem in corpore eſſe,mentẽ in anima,Verbum in mente: Deũ itaq; horum patrẽ effatus eſt. [14] Verbũ igitur imago eſt men- 14
tis,* mens autẽ Dei|,& corpus ideæ,idea autẽ animæ.Materiæ ergo ſubtiliſſimum aer,aeris anima,animę mens,mentis Deus. Et Deus quidẽ circa omnia & per omnia. Mens autẽ circa animam,anima circa aerem,aer circa materiam. Neceſſitas autem,prouidentia,& natura,inſtrumenta ſunt mundi, & ordinis materię. Intelligibilium autẽ vnumquodq; eſſentia eſt,eſſentia vero ipſorum,eſſe idem. Corporum autẽ vniuerſi ſingula,multa ſunt. Corpora nãq; compoſita eundem ſtatum habentia,ac mutationem ad inuicem efficientia,eiuſdẽ ſtatus incorruptionem obſeruant. [15] In alijs autẽ cunctis corporib.cõpoſitis,ſin- 15
gulorum numerus eſt. Nã abſq; numero cõſtructio, ſtructura, aut diſſolutio,fieri non poteſt. Vnitates autẽ numerum generant,ac adaugent,ac denuo ſolutę in ſeipſas excipiunt.Materia vero vnica eſt.Omnis ſimul hic mundus,magnus Deus,& maioris imago,ac ipſi coniunctus, patris ordinem & voluntatem obſeruans,plenitudo vitæ eſt.Ac nihil eſt in hoc patriæ reſtaurationis,nec vniuerſi, nec partium,quod per omne æuum non viuat:mortuũ enim ne vnum quidem fuit,neq; eſt,neq; in mũdo erit. Vitam namq; voluit pater ipſi ineſſe quoad conſtaret. Quapropter Deum eſſe neceſſum eſt. [16] Qua itaq; lege po- 16
terunt,o fili,in Deo, in vniuerſi imagine, in vitæ cõplemento, mortua eſſe? Mors etenim corruptio eſt, corruptio autẽ abrogatio.Quomodo igitur incorrupti pars aliqua corrũpi poteſt, aut Dei quicquã abrogari?Non igitur obeunt animalia quę ipſum incolunt,o Pater,partes eius exiſtentia? Bona verba, o fili. Rei denominatione deciperis. Non equidẽ moriuntur, o fili, quinimo diſſoluuntur tanquã coadunata corpora. Diſſolutio autẽ mors non eſt,at temperamenti ſolutio.Diſſoluuntur quidem,non vt pereant,ſed vt noua fiant. [17] Inſuper quæ eſt vitæ 17
efficacia?nũ motus?Quid igitur in mundo motus expers?Nil,

Διάφορος μὲν, ὦ τέκνον· εἷς δὲ ὁ ἄνθρωπος, οὕτω καὶ ὁ λόγος εἷς
ἐστι, καὶ μεθερμηνεύεται καὶ ὁ αὐτὸς εὑρίσκεται καὶ ἐν Αἰγύπτῳ,
καὶ Περσίδι, καὶ Ἑλλάδι. δοκεῖς δέ μοι, ὦ τέκνον, ἀγνοεῖν ἀρετὴν
καὶ μέγεθος λόγου. ὁ γὰρ μακάριος θεὸς, ἀγαθὸς δαίμων, ψυ-
χὴν μὲν ἐν σώματι ἔφη εἶναι· νοῦν δὲ ἐν ψυχῇ· λόγον δὲ ἐν τῷ
14 νῷ· τὸν οὖν θεὸν τούτων πατέρα. 14 Ὁ οὖν λόγος ἐστὶν εἰκὼν
τοῦ νοῦ, καὶ νοῦς τοῦ θεοῦ· καὶ τὸ σῶμα δὲ τῆς ἰδέας· ἡ δὲ ἰδέα τῆς ψυ-
χῆς. ἔστιν οὖν τῆς μὲν ὕλης τὸ λεπτομερέστατον, ἀήρ· ἀέρος δέ, ψυχή·
ψυχῆς δὲ, νοῦς· νοῦ δὲ, θεός. καὶ ὁ μὲν θεὸς, περὶ πάντα καὶ διὰ πάν-
των· ὁ δὲ νοῦς, περὶ τὴν ψυχήν· ἡ δὲ ψυχὴ, περὶ τὸν ἀέρα· ὁ δὲ ἀήρ,
περὶ τὴν ὕλην. ἀνάγκη δὲ καὶ ἡ πρόνοια, καὶ ἡ φύσις, ὄργανά ἐστι τοῦ
κόσμου, καὶ τῆς τάξεως τῆς ὕλης· καὶ τῶν μὲν νοητῶν ἕκαστόν ἐστιν οὐ-
σία· οὐσία δὲ αὐτῶν, ἡ ταυτότης. τῶν δὲ τοῦ παντὸς σωμάτων ἕκαστον
πολλά ἐστιν. ἔχοντα γὰρ τὴν ταυτότητα τὰ σύνθετα σώματα, καὶ
τὴν μεταβολὴν εἰς ἄλληλα ποιούμενα, ἀεὶ τῆς ταυτότητος τὴν ἀ-
15 φθαρσίαν σώζει. 15 Ἐν δὲ τοῖς ἄλλοις συνθέτοις πᾶσι σώ-
μασιν, ἀριθμὸς ἑκάστου ἐστί. χωρὶς γὰρ ἀριθμοῦ σύστασιν, ἢ σύνθε-
σιν, ἢ διάλυσιν, ἀδύνατον γενέσθαι. αἱ δὲ ἑνάδες, τὸν ἀριθμὸν γεννῶσι
καὶ αὔξουσι· καὶ πάλιν διαλυόμεναι, εἰς ἑαυτὰς δέχονται. καὶ ἡ ὕλη
μία· ὁ δὲ σύμπας κόσμος οὗτος, ὁ μέγας θεὸς, καὶ τοῦ μείζονος εἰκὼν,
καὶ ἡνωμένος ἐκείνῳ, καὶ συσώζων τὴν τάξιν, καὶ βούλησιν τοῦ πατρὸς πλή-
ρωμά ἐστι τῆς ζωῆς. καὶ οὐδέν ἐστιν ἐν τούτῳ διὰ παντὸς τοῦ αἰῶ-
νος, τῆς πατρῴας ἀποκαταστάσεως, οὔτε τοῦ παντὸς, οὔτε τῶν κα-
τὰ μέρος, ὃ οὐχὶ ζῇ. νεκρὸν γὰρ οὐδὲ ἓν, οὔτε γέγονεν, οὔτε ἐστὶν,
οὔτε ἔσται ἐν κόσμῳ. † ζωὴν γὰρ ἠθέλησεν ὁ πατὴρ αὐτῷ εἶναι, ἔστ' † ζῷον
16 ἂν συνέστηκε· διὸ καὶ θεὸν εἶναι ἀνάγκη. 16 Πῶς ἂν οὖν δύναι-
το, ὦ τέκνον, ἐν τῷ θεῷ, ἐν τῇ τοῦ παντὸς εἰκόνι, ἐν τῷ τῆς ζωῆς
πληρώματι, νεκρὰ εἶναι. ἡ γὰρ νεκρότης, φθορά ἐστιν· ἡ δὲ φθορὰ,
ἀπώλεια. πῶς οὖν μέρος τι δύναται φθαρῆναι τοῦ ἀφθάρτου, ἢ
ἀπολέσαι τι τοῦ θεοῦ. Οὐκ ἀποθνήσκει οὖν, ὦ πάτερ, τὰ ἐν αὐ-
τῷ ζῷα, ὄντα αὐτοῦ μέρη; Εὐφήμησον, ὦ τέκνον, πλανώμενος
τῇ προσηγορίᾳ τοῦ γινομένου. οὐ γὰρ ἀποθνήσκει, ὦ τέκνον,
ἀλλ' ὡς σύνθετα σώματα διαλύεται· ἡ δὲ διάλυσις, οὐ θάνα-
τός ἐστιν, ἀλλὰ κράματος διάλυσις· διαλύεται δὲ, οὐχ ἵν' ἀπό-
27 ληται, ἀλλ' ἵνα νέα γένηται. 17 Ἐπεὶ τίς τῆς ζωῆς ἐστιν ἡ
ἐνέργεια· οὐχὶ κίνησις; Τί οὖν ἐν τῷ κόσμῳ ἀκίνητον. Οὐδὲν,

o fili. Nũquid terra tibi apparet immobilis, o Pater? Nequaquã fili, quin etiã plurib. tractatur motibus, sola vero & quiescens. Quomodo risum id non excitaret, omniũ altricem orbari motu, quæ pullulat ac omnia gignit. non enim sine motu potest quicquam parere pariens. Ridiculosissime vero siscitabaris an quarta pars otiosa foret? nihil etenim aliud sibi vult immobile corpus pręter otiũ. [18] Quidquid itaq; (in genere scito) o fili, est 18
in mundo, mobile est, aut in decrementũ, aut in incrementum. Quod autẽ mouetur viuit. Quod vero viuit, nõ necessario idẽ est. Vniuersus igitur mũdus simul est immutabilis, o fili. Partes autẽ eius omnes mutabiles, nihil vero interitui vel abrogationi obnoxiũ. At denominationes homines cõcitant. Non enim generatio vita est,* at sensus|, neque mutatio mors, at obliuio. Cũ hæc ita se habeant, cuncta a morte sunt libera, materia, vita, spiritus, mens, anima, ex quibus omne constituitur animal.
[19] Omne itaq; animal per seipsum mortis expers, potissimũ au- 19
tem omniũ homo, qui Dei capax est, ac Dei essentiæ consors est. Cũ hoc nãq; vnico animali Deus consuetudinẽ habet, noctu per somnia, interdiu per ostẽta, ac per omnia illi futura præfatur, per aues, per intestina, per flatũ, per arborẽ. Quare profitetur homo anteacta, præsentia, ac futura scire. [20] Illud etiã in- 20
tuere, o fili, quod scilicet vnumquodq; animaliũ vnicã mundi partẽ incolit, aquatilia aquã, terrestria terrã, sublimia aerẽ. Homo autẽ hisce omnib. vtitur, terra, aqua, aere, igne. Cœlũ quidẽ inspicit, ac sensu illud attingit. Deus autẽ circa omnia & per omnia. Efficacia nãq; potentia est: Deũq; cognoscere non est acerbũ. [21] Quod si ipsum spectare desideras, ordinẽ mundi cõ- 21
spice, ac ordinis concinnitatẽ, apparentiũ necessitatẽ cõsidera, prouidentiamq; eorũ quæ facta sunt, & facienda sunt· Materiã intuere, vitæ confertissimã existentẽ, tantæ authoritatis Deũ, vna cũ cunctis bonis ac pulchris Dijs Dæmonib. ac hominib. se mouentẽ. Ast ipsi, o Pater, prorsus sunt effectus. Si itaq; effectus omnino sint, o fili, a quo fiunt? Nũ ab alio Deo? Aut ignoras quod veluti mũdi mẽbra Cœlũ, Terra, Aqua, Aer, existũt. Haud secus Dei mẽbra sunt, Vita, immortalitas, efficacia,* spiritus|, necessitas, prouidentia, natura, anima, & mens. Omnium

ὦ τέκνον. Οὐδ' ἡ γῆ ἀκίνητός σοι δοκεῖ, ὦ πάτερ; Οὐ τέκνον,
ἀλλὰ καὶ πολυκίνητος μόνη ἥδε καὶ στάσιμος. πῶς οὐκ ἂν γελοῖον εἴη
τὴν τροφὸν πάντων ἀκίνητον εἶναι, τὴν φύουσαν καὶ γεννῶσαν τὰ πάν-
τα. ἀδύνατον γὰρ χωρὶς κινήσεως φύειν τι τὸν φύοντα· γελοιότατον δὲ
ἐπύθου, εἰ τὸ τέταρτον μέρος ἀργὸν ἔσται. οὐδὲν γὰρ ἕτερον σημαίνει
18 τὸ ἀκίνητον σῶμα, ἢ ἀργίαν. [18] Πᾶν τοίνυν, ἴσθι καθολικῶς, ὦ
τέκνον, τὸ ὂν ἐν κόσμῳ κινούμενον ἢ κατὰ μείωσιν, ἢ αὔξησιν· τὸ δὲ
κινούμενον, καὶ ζῇ· τὸ δὲ ζῶον πᾶν, οὐκ ἀνάγκη τὸ αὐτὸ εἶναι. ὧν γὰρ
ὁμοῦ σύμπας ὁ κόσμος, ἀμετάβλητος, ὦ τέκνον, ἐστί· τὰ δὲ μέρη
αὐτοῦ πάντα μεταβλητά. οὐδὲν δὲ φθαρτὸν ἢ ἀπολλύμενον· αἱ δὲ
προσηγορίαι τοὺς ἀνθρώπους ταράττουσιν. οὐ γὰρ ἡ γένεσίς ἐστι
ζωὴ, ἀλλ' ἡ αἴσθησις· οὐδὲ ἡ μεταβολὴ θάνατος, ἀλλὰ λήθη.
τούτων τοίνυν οὕτως ἐχόντων, ἀθάνατα πάντα. ἡ ὕλη ζωὴ, τὸ πνεῦ-
19 μα, ὁ νοῦς, ψυχὴ, † ἐξ ὧν πᾶν ζῶον συνέστηκε. [19] Πᾶν ἄρα † ἐξ οὗ
ζῶον ἀθάνατον δι' αὐτόν· πάντων δὲ μᾶλλον ὁ ἄνθρωπος, ὁ καὶ
τοῦ θεοῦ δεκτικὸς, καὶ τῷ θεῷ συνουσιαστικός. τούτῳ γὰρ μόνῳ τῷ
ζώῳ ὁ θεὸς ὁμιλεῖ, νυκτὸς μὲν δι' ὀνείρων, ἡμέρας δὲ διὰ συμβό-
λων, καὶ διὰ πάντων αὐτῷ προλέγει τὰ μέλλοντα, διὰ ὀρνέων, διὰ
σπλάγχνων, διὰ πνεύματος, διὰ δρυός· διὸ καὶ ἐπαγγέλλεται ὁ
ἄνθρωπος ἐπίστασθαι τὰ προγεγενημένα, καὶ ἐνεστῶτα, καὶ μέλ-
20 λοντα. [20] Κἀκεῖνο δὲ ὅρα, ὦ τέκνον, ὅτι ἕκαστον τῶν ζώων, ἑνὶ
μέρει ἐπιφοιτᾷ τοῦ κόσμου, τὰ μὲν ἔνυδρα τῷ ὕδατι, τὰ δὲ χερ-
σαῖα τῇ γῇ, τὰ δὲ μετάρσια τῷ ἀέρι· ὁ δὲ ἄνθρωπος, τούτοις
πᾶσι χρῆται, γῇ, ὕδατι, ἀέρι, πυρί· ὁρᾷ δὲ καὶ οὐρανόν· ἅπτεται
δὲ καὶ τούτου αἰσθήσει. ὁ δὲ θεὸς, καὶ περὶ πάντα καὶ διὰ πάντων.
ἐνέργεια γάρ ἐστι δύναμις· καὶ οὐδὲν δύσκολόν ἐστι νοῆσαι τὸν θεὸν, ὦ
21 τέκνον. [21] Εἰ δὲ θέλεις αὐτὸν καὶ θεωρῆσαι, ἴδε τὴν τάξιν τοῦ
κόσμου, καὶ τὴν εὐκοσμίαν τῆς τάξεως· ἴδε τὴν ἀνάγκην τῶν φαινομένων,
καὶ τὴν πρόνοιαν τῶν γεγονότων τε καὶ γενομένων· ἴδε τὴν ὕλην πληρεστά-
την οὖσαν ζωῆς, τὸν τηλικοῦτον θεὸν κινούμενον, μετὰ πάντων ἀγα-
θῶν καὶ καλῶν θεῶν τε καὶ δαιμόνων, καὶ ἀνθρώπων. Ἀλλ'
αὗται, ὦ πάτερ, ἐνέργειαι ὅλως εἰσίν; Εἰ οὖν ἐνέργειαι ὅλως εἰσὶν,
ὦ τέκνον, ὑπὸ τίνος οὖν ἐνεργοῦνται. ὑπὸ ἄλλου θεοῦ, ἢ ἀγνοεῖς
ὅτι ὥσπερ τοῦ κόσμου † μέλη εἰσὶν οὐρανὸς, καὶ γῆ, καὶ ὕδωρ, καὶ † μέρη
ἀὴρ, τὸν αὐτὸν τρόπον μέλη ἐστὶ θεοῦ, ζωὴ, καὶ ἀθανασία ἐνέρ-
γεια, καὶ † πνεῦμα, καὶ ἀνάγκη, καὶ πρόνοια, καὶ φύσις, καὶ ψυχὴ, καὶ νοῦς, † αἷμα

autem horum perennitas eſt id quod Bonũ dicitur: nihilq; eſt
inſuper eorum quæ fiunt, aut facta ſunt, vbi non ſit Deus. [22] In 22
materia igitur, o Pater? Materia, o fili, ſeorſum eſt a Deo, vt quẽ-
dam ipſi locũ diſtribuas. Quid præter aceruum eã eſſe reris nõ
confectã? Si autẽ conficiatur, a quo conficitur? Efficacias nãq;
Dei partes eſſe prædiximus. A quo ergo viua fiunt cuncta ani-
mantia? a quo immortalitate donantur immortalia? a quo mu-
tantur mutabilia? Aut equidẽ materiam, ſiue corpus, vel eſſen-
tiam dixeris, has Dei peculiares efficacias eſſe ſcito. [23] Materia 23
nãq; materiæ habitũ operatur, ac corporum corporalẽ habi-
tum, eſſentia vero eſſentiæ habitũ. Et hoc Deus eſt, hoc vniuer
ſum. Nihil autẽ eſt in vniuerſo quod nõ ſit. Ex quo nec magni-
tudo, nec locus, nec qualitas, nec figura, neque tempus, circa
Deum eſt. Omne namque eſt, Omne quidem, per omnia, ac
circa omnia. Hoc verbum, o fili, venerare & celebra. Dei au-
tem vna eſt cultura, non eſſe malum.

MERCVRII TRISMEGISTI, AD FILIVM TAT IN MONTE, SERMO ARCANVS, DE REGENERATIONE ET SILENTII PROFESSIONE,

CAPVT DECIMVMTERTIVM.

IN generalibus, o Pater, per ænigmata non 1
autem liquido diſſeruiſti de Deitate diſcep-
tãs, & nõ patefeciſti: cũ diceres neminẽ ſer-
uari poſſe ante renaſcentiã: cum etiã tibi in
montis tranſitu fierẽ ſupplex, poſtquã me-
cum diſſertaſſes, & accepiſſem, vt renaſcẽdi
muneris propoſitũ edocerer. Hoc nimirũ
præter omnia ſolũ ignoro. Teq; mihi traditurũ dixiſſes, cum a
mundo alienus eris. Expeditus ſum, ac conſiliũ meum a mundi
ſuadela ſecreui. Tu vero deffectus ſupple, quib. te mihi renaſcẽ
di noticiã traditurũ dixiſti, voce aut occulte proponens, o Triſ-
megiſte, ignoro ex qua matrice natus ſit homo, & ex quo ſe-
mine. [2] O fili, ſapientia intelligibilis in ſilentio, ac ſemen id ve- 2

καὶ τούτων πάντων ἡ διαμονή, τὸ λεγόμενον ἀγαθόν; καὶ οὐκ ἔτι ἐστί
22 τι τῶν γινομένων ἢ τῶν γεγονότων, ὅπου οὐκ ἔστιν ὁ θεός; 22 Ἐν τῇ
ὕλῃ οὖν, ὦ πάτερ; Ἡ γὰρ ὕλη, ὦ τέκνον, χωρὶς θεοῦ ἐστίν, ἵνα
ποιὸν αὐτῇ ἀπομερίσῃς τόπον. τί δὲ οὖσαν ἢ σωρὸν αὐτὴν οἴει εἶ-
ναι μὴ ἐνεργουμένην; εἰ δὲ ἐνεργεῖται, ὑπὸ τίνος ἐνεργεῖται. τὰς γὰρ
ἐνεργείας ἔφαμεν εἶναι μέρη τοῦ θεοῦ. ὑπὸ τίνος οὖν ζωοποιεῖται τὰ
πάντα ζῷα· ὑπὸ τίνος ἀθανατίζεται τὰ ἀθάνατα· ὑπὸ τίνος με-
ταβάλλεται τὰ μεταβλητά. εἴτε δὲ ὕλην, εἴτε σῶμα, εἴτε οὐσίαν
23 φῇς, ἴσθι καὶ ταύτας αὐτὰς ἐνεργείας τοῦ θεοῦ. 23 Καὶ ὕλη ἐνερ-
γεῖ τὴν ὑλότητα, καὶ τῶν σωμάτων σωματότητα, καὶ ἡ οὐσία τὴν οὐ-
σιότητα. καὶ τοῦτό ἐστιν ὁ θεός, τὸ πᾶν. ἐν δὲ τῷ παντί, οὐδέν ἐστιν
ὃ μὴ ἔστιν· ὅθεν οὔτε μέγεθος, οὔτε τόπος, οὔτε ποιότης, οὔτε
σχῆμα, οὔτε χρόνος περὶ τὸν θεόν ἐστι. πᾶν γάρ ἐστι· τὸ δὲ πᾶν διὰ
πάντων καὶ περὶ πάντα. τοῦτον τὸν λόγον, ὦ τέκνον, προσκύνει, καὶ
θρήσκευε. θρησκεία δὲ τοῦ θεοῦ μία ἐστί, μὴ εἶναι κακόν.

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ, ΠΡΟΣ ΤΟΝ ΥΙΟΝ ΤΑΤ ΕΝ ΟΡΕΙ ΛΟΓΟΣ ΑΠΟΚΡΥΦΟΣ ΠΕΡΙ ΠΑΛΙΓΓΕΝΕΣΙΑΣ, ΚΑΙ ΣΙΓΗΣ ΕΠΑΓΓΕΛΙΑΣ.

1 ΕΝ τοῖς γενικοῖς, ὦ πάτερ, αἰνιγματωδῶς, καὶ
οὐ τηλαυγῶς ἔφρασας περὶ θεότητος διαλεγό-
μενος· καὶ οὐκ ἀπεκάλυψας, φάμενος μηδένα
δύνασθαι σωθῆναι πρὸ τῆς παλιγγενεσίας, ἐμοῦ
τέ σου ἱκέτου γενομένου ἐπὶ τῆς τοῦ ὄρους μεταβά-
σεως, μετὰ τὸ σὲ ἐμοὶ διαλεχθῆναι, καὶ πυθομένου
τὸν τῆς παλιγγενεσίας λόγον μαθεῖν, ὅτι τοῦτον πα-
ρὰ πάντα μόνον ἀγνοῶ· καὶ ἔφης ὅταν μέλλῃς κόσμου ἀπαλλοτριοῦσθαι,
παραδιδόναι μοι· ἕτοιμος ἐγενόμην, καὶ ἀπηλλοτρίωσα τὸ ἐν ἐμοὶ φρόνη-
μα, καὶ ἀπὸ τῆς τοῦ κόσμου ἀπάτης· σὺ δέ μοι καὶ τὰ ὑστερήματα ἀναπλή-
ρωσον, οἷς ἔφης μοι παλιγγενεσίαν παραδοῦναι, προθέμενος ἐκ φωνῆς
ἢ κρυβήν· ἀγνοῶ, ὦ τρισμέγιστε, ἐξ οἵας μήτρας ἄνθρωπος ἐγεννήθη,
2 σπορᾶς δὲ ποίας. 2 Ὦ τέκνον, σοφία νοερὰ ἐν σιγῇ, καὶ ἡ σπορὰ τὸ ἀ-

rum bonũ. Quonam seminante, o Pater? Prorsus nãq; ambigo. Dei arbitrio, o fili. miror, o Pater, cuias is qui gignitur, est. Nam eius essentiæ & intelligentiæ quæ in me est sorte carens, alius erit is, qui gignitur a Deo, Deus filius. Omne in omni, ex omnibus virtutib. constitutũ. Ænigma mihi dicis, o Pater, neq; more patris filium cõpellas. Hoc genus, o fili, nõ edocetur: quinimo a Deo, quando libet, memoriæ cõmendatur. [3] Quæ fieri non 3
possunt mihi dicis, o Pater, & violenta. Quare merito hæc refellere volo. Adeone natura alienus sum filius a paterno genere, ne me, o Pater, æ muleris: ingenuus em̃ sum filius. Renascẽdi modũ mihi dilucida. Quid dicã, o fili, fari non valeo prꝍter hoc. Video non fictũ spectaculum Dei cõmiseratione in me genitum, ac a meipso in immortale corpus exij, nuncque sum a me pristino alius, in mentẽ quidem natus. Hoc munus non edocetur, neq; per formatũ hoc elementare videri potest. Quapropter constructa prius statura, mihi contẽptui est. [4] Num, o Pa- 4
ter, quod colore imbutus sim, ac tactũ & mensuram habeã, ab ijs nunc secretus sum.* Conspice me, o fili, oculis, dum obtutu fixè me corporeo visu consideras. Ego nunc non hisce oculis conspicio, o fili|. In furorem non exiguum ac mentis insaniam cõiecisti me, o Pater. Nunc em̃ meipsum non video. O si & ex teipso, o fili, exijsses, ac eorũ instar qui somniãt meditareris, citra somnũ tamen. [5] Hoc quoq; mihi profer. Quis est renascẽ- 5
tiæ auctor? Dei filius, homo vnus, Dei voluntate. Nunc deinceps, o Pater, obmutescere me cogis. a pristino nãq; furore alienus amplitudinẽ tuam specto, vna cum tua effigie, ac in ipsa, mendacio. Mortalium nãq; species in dies immutatur. Per tẽpus etenim varia fit, in incrementũ & dimunitionem, mẽdacij instar. [6] Verũ itaq; quid erit, o Trismegiste? Quod immacula- 6
tum est, o fili, quod non definitur, non coloratũ, sine figura, immotũ, nudum, apparens, sibi cõprehensibile, immutabile, Bonum, incorporeũ. Vtiq; insanio, Pater. Existimãte nãq; me abs te doctum effici, sensus mei obstructi sunt hac noticia. Ita se res habet, o fili, pars sursum velut ignis fertur, pars deorsum vergit vt terra, pars humidũ vt aqua, pars vt aer conspirat. Quanã arte id sensu percipies, quod nec durũ, nec humidum, nec constri-

θινὸν ἀγαθόν. Τίνος σπείραντος, ὦ πάτερ. τὸ γὰρ σύνολον ἀπορῶ.
Τοῦ θελήματος τοῦ θεοῦ, ὦ τέκνον. Καὶ ποταπὸς ὁ γεννώμενος, ὦ
πάτερ, ἄμοιρος γὰρ τῆς ἐν ἐμοὶ οὐσίας καὶ τῆς νοητῆς, † ἄλλος ἔσαι † A
ὁ γεννώμενος θεοῦ θεὸς παῖς· τὸ πᾶν ἐν παντὶ ἐκ πασῶν δυνά-
μεων συνεστός. Αἴνιγμά μοι λέγεις, ὦ πάτερ, καὶ οὐχ ὡς πα-
τὴρ υἱῷ διαλέγῃ. Τοῦτο τὸ γένος, ὦ τέκνον, οὐ διδάσκεται, ἀλλ᾽
3 ὅταν θέλῃ ὑπὸ τοῦ θεοῦ ἀναμιμνήσκεται. 3 Ἀδύνατά μοι λέ-
γεις, ὦ πάτερ, καὶ βεβιασμένα· ὅθεν πρὸς ταῦτα ὀρθῶς ἀντει-
πεῖν θέλω· ἀλλότριος υἱὸς πέφυκα τοῦ πατρικοῦ γένους; μὴ φθό-
νει μοι πάτερ. γνήσιος υἱός εἰμι· διάφρασόν μοι τῆς παλιγγενεσίας
τὸν τρόπον. Τί εἴπω, ὦ τέκνον, οὐκ ἔχω λέγειν, πλὴν τοῦτο, † ὁρῶ † ὁρῶν
τιν᾽ ἐν ἐμοὶ ἄπλαστον θέαν γεγενημένην ἐξ ἐλέου θεοῦ, καὶ † ἐμαυτοῦ τι
ἐξελήλυθα εἰς ἀθάνατον σῶμα· καὶ εἰμὶ νῦν οὐχ ὁ πρίν, ἀλλ᾽ † ἐμαυ
ἐγεννήθην ἐν νῷ. τὸ πρᾶγμα τοῦτο οὐ διδάσκεται, οὐδὲ τῷ πλα- τὸν
στῷ τούτῳ † στοιχειώδει οὐκ ἔστιν ἰδεῖν, καὶ διὸ ἠμέληταί μοι τὸ † στοι-
4 πρῶτον σύνθετον εἶδος. 4 Οὐχ ὅτι κεχρῶσμαι, καὶ ἁφὴν ἔχω, χείῳ
καὶ μέτρον, ἀλλότριος τούτων εἰμὶ νῦν. Ὁρᾷς με, ὦ τέκνον, ὀ- δι᾽ οὗ
φθαλμοῖς, ὅτε δὴ κατανοεῖς ἀτενίζων σώματι καὶ ὁράσει· οὐκ ὀ-
φθαλμοῖς τούτοις θεωροῦμαι νῦν, ὦ τέκνον. Εἰς μανίαν με οὐκ
ὀλίγην καὶ οἴστρησιν φρενῶν ἐνέσεισας, ὦ πάτερ. ἐμαυτὸν γὰρ νῦν
οὐχ ὁρῶ. Εἴθε, ὦ τέκνον, καὶ σὺ σεαυτὸν διεξελήλυθας, ὡς οἱ
5 ἐν ὕπνῳ ὀνειροπολούμενοι, χωρὶς ὕπνου. 5 Λέγε μοι καὶ τοῦτο·
τίς ἐστι γενεσιουργὸς τῆς παλιγγενεσίας. Ὁ τοῦ θεοῦ παῖς, ἄν-
θρωπος εἷς, θελήματι θεοῦ. Νῦν τὸ λοιπόν, ὦ πάτερ, εἰς ἀφα-
σίαν με ἤνεγκας, τῶν πρὶν γὰρ ἀπολειφθεὶς φρενῶν, τὸ μέγεθος
βλέπω τὸ σόν, τὸ † σὺν αὐτῷ, ὦ πάτερ, τῷ χαρακτῆρι καὶ ἐν † αὐτὸ
τούτῳ ψεύδει· τὸ γὰρ θνητῶν εἶδος καθ᾽ ἡμέραν ἀλλάσσεται.
6 χρόνῳ γὰρ τρέπεται εἰς αὔξησιν καὶ μείωσιν ὡς ψεῦδος. 6 Τί
οὖν ἀληθές ἐστιν, ὦ τρισμέγιστε. Τὸ μὴ θολούμενον, ὦ τέκνον, τὸ
μὴ διοριζόμενον, τὸ ἀχρώματον, τὸ ἀσχημάτιστον, τὸ ἄτρεπτον, τὸ
γυμνὸν· τὸ φαῖνον, τὸ αὐτῷ καταληπτόν, τὸ ἀναλλοίωτον, τὸ ἀγαθόν,
τὸ ἀσώματον. Μέμηνα ὄντως, ὦ πάτερ. δοκοῦντος γάρ μου ὑπὸ
σοῦ σοφοῦ γεγονέναι, ἐνεφράχθησαν αἱ αἰσθήσεις † μου τούτου τοῦ † τούτου
νοήματος. Οὕτως ἔχει, ὦ τέκνον. τὸ μὲν ἀνωφερὲς ὡς πῦρ· τὸ δὲ μου
κατωφερὲς ὡς γῆ, καὶ ὑγρὸν ὡς ὕδωρ, καὶ σύμπνοον ὡς ἀήρ·
πῶς αἰσθητῶς αὐτὸ νοήσεις, τὸ μὴ σκληρόν, τὸ μὴ ὑγρόν, τὸ ἀσφίγ-

ctum,nec tranſiliens,quod tantū virtute &efficacia percipitur.
7 Sola deeſt mens,quę generationē,quę in Deo eſt,intelligere 7
poſſit.Impotens itaq; ſum,o Pater. Abſit,o fili.euoca ad te, &
veniet : velis & fiet:corporis ſenſus abroga,* tum erit Deitatis
genitura|:purga te a materiæ vindicib.ratione deſtitutis. Num
apud meipſum vindices habeo, o Pater? Haud exiguos, o fili,
quinimo formidabiles ac multos.Neſcio,o Pater. Prima,o fili,
vltrix ipſa eſt ignorantia, ſecunda mœror, tertia intemperātia,
quarta cupiditas,quinta iniuſticia,ſexta auaritia,ſeptima ſuade-
la,octaua inuidia,nona dolus,decima ira, vndecima temeritas,
duodecima prauitas.Sunt autem ipſæ duodecim numero.Sub
ijs,o fili,quā plures aliæ per hunc carcerē corporis internū ho-
minē ſenſu pati cōpellunt. 8 Secedunt autē hæ non affatim ab 8
eo cuius miſereſcit Deus. Ita nāq; cōſtituitur regenerandi ſta-
tus ac ſermo.Cæterū, o fili,obmuteſce : ac fauſte ominare.Nā
eapropter Dei miſeratio ſe nobis non abdicabit.Lętare igitur,
o fili,noxijs per dei potētias ablatis, in ſermonis articulationē.
Venit in nos Dei noticia.Cū hæc venit,o fili,propulſa eſt igno
rantia.Venit in nos gaudij cognitio. Cū hæc adfuit,o fili,mœ-
ror fugā inijt,ad eos qui eius ſunt capaces. 9 Virtutē nuncupo 9
ad gaudiū ducem,tēperantiam.O facultas gratiſſima! Alacres,
o fili,ipſam aſſumamus.Quo modo vna cū adfuit,intemperan
tiam depulſit. Quartam vero nunc continentiā enuncio , vir-
tutem cupidinib.aduerſam. Gradus hic,o fili,iuſticiæ ſedes eſt.
Aſpice,o fili,quomodo nullo molimine iniuſticiam expulerit.
Iuſti nāq; efficimur,abſente iniuſticia. Sextā, potentiam inter
nos cōmunionem contra auaritiam voco.Qua recedente,iam
veritatē euoco : tum ſuaſio fugam arripit, & veritas auxiliatur.
Intuere,o fili,quonam pacto Bonū adimpletum eſt,veritate fa
uente.A nobis enim inuidia demigrauit.Veritati autē Bonum
vna cum vita & luce acceſſit:nec vltra tenebrarū vltio quęquā
ſubijt.Quinetiam ſuperatæ impetus ſtridore volarūt. 10 Noſti, 10
o fili,regenerandi morem. Denario fauēte,o fili,generatio in-
telligibilis conſtructa eſt, quæ Duodenariū detrudit,& contē-
platores effecti ſumus generatione. Quicumq; igitur Dei mi-
ſeratione ea quæ ſecundū Deum eſt generatione potitur , de-

γωτον, τὸ μὴ διαλυόμενον, τὸ μόνον δυνάμει καὶ ἐνεργείᾳ νοούμενον.
7 [7] † Δέῃ μόνου δὲ νοῦ δυναμένου νοεῖν τὴν ἐν θεῷ γένεσιν. Ἀδύ- † Δεο-
νατος οὖν εἰμί, ὦ πάτερ. Μὴ γένοιτο, ὦ τέκνον· ἐπίσπασαι εἰς μένου
ἑαυτὸν, καὶ ἐλεύσεται· θέλησον, καὶ γίνεται. κατάργησον τοῦ σώματος δὲ τοῦ
τὰς αἰσθήσεις, καὶ ἔσται ἡ γένεσις τῆς θεότητος· κάθαραι σεαυτὸν ἀπὸ
τῶν ἀλόγων τῆς ὕλης τιμωρῶν. Τιμωροὺς γὰρ ἐν ἑαυτῷ ἔχω, ὦ
πάτερ; Οὐκ ὀλίγους, ὦ τέκνον, ἀλλὰ καὶ φοβεροὺς καὶ πολλούς.
Ἀγνοῶ, ὦ πάτερ. Μία αὕτη, ὦ τέκνον, τιμωρία, ἡ ἄγνοια· δευ-
τέρα δὲ, λύπη· τρίτη, ἀκρασία· τετάρτη, ἐπιθυμία· πέμπτη, ἀ-
δικία· ἕκτη, πλεονεξία· ἑβδόμη, ἀπάτη· ὀγδόη, φθόνος· ἐννάτη,
δόλος· δεκάτη, ὀργή· ἑνδεκάτη, προπέτεια· δωδεκάτη, κακία·
εἰσὶ δὲ καὶ αὗται τὸν ἀριθμὸν δώδεκα· ὑπὸ δὲ ταύταις πλείονες ἄλ-
λαι, ὦ τέκνον, διὰ τοῦτο δεσμωτηρίου τοῦ σώματος αἰσθητικῶς πά-
8 σχειν ἀναγκάζουσι τὸν ἐνδιάθετον ἄνθρωπον. [8] Ἀφίστανται δὲ αὗται
οὐκ ἀθρόως, ἀπὸ τοῦ ἐλεηθέντος ὑπὸ τοῦ θεοῦ· καὶ οὕτω συνίσταται ὁ τῆς
παλιγγενεσίας τρόπος καὶ λόγος. λοιπὸν σιώπησον, ὦ τέκνον, καὶ εὐφή-
μησον· καὶ διὰ τοῦτο οὐ καταπαύσει τὸ ἔλεος εἰς ἡμᾶς ἀπὸ τοῦ θεοῦ.
χαῖρε λοιπὸν, ὦ τέκνον, ἀνακαθαιρόμενος ταῖς τοῦ θεοῦ δυνάμεσιν εἰς
συνάρθρωσιν τοῦ λόγου. ἦλθεν ἡμῖν γνῶσις τοῦ θεοῦ, ταύτης δὲ ἐλθού-
σης, ὦ τέκνον, ἐξηλάθη ἡ ἄγνοια. ἦλθεν ἡμῖν γνῶσις χαρᾶς· παρα-
γενομένης ταύτης, ὦ τέκνον, ἡ λύπη φεύξεται εἰς τοὺς χωροῦντας αὐτήν.
9 [9] Δύναμιν καλῶ ἐπὶ χαρᾷ τὴν ἐγκράτειαν. ὦ δύναμις ἡδίστη·
προσλάβωμεν αὐτὴν, ὦ τέκνον, ἀσμενέστατα. πῶς ἅμα τῷ παραγενέσθαι,
ἀπώσατο τὴν ἀκρασίαν. τετάρτην δὲ νῦν καλῶ καρτερίαν, τὴν κατὰ
τῆς ἐπιθυμίας δύναμιν. ὁ βαθμὸς οὗτος, ὦ τέκνον, δικαιοσύνης ἐστὶν ἕ-
δρασμα. χωρὶς γὰρ κρίσεως ἴδε πῶς τὴν ἀδικίαν ἐξήλασεν. ἐδικαιώθη-
μεν, ὦ τέκνον, ἀδικίας ἀπούσης. ἕκτην δύναμιν καλῶ εἰς ἡμᾶς τὴν κα-
τὰ τῆς πλεονεξίας κοινωνίαν. ἀποστάσης δὲ, ἔτι καλῶ τὴν ἀλήθειαν, καὶ
φεύγει ἀπάτη, ἀλήθεια παραγίνεται. ἴδε πῶς τὸ ἀγαθὸν πεπλήρωται,
ὦ τέκνον, παραγινομένης τῆς ἀληθείας. φθόνος γὰρ ἀφ' ἡμῶν ἀπέστη·
τῇ δὲ ἀληθείᾳ καὶ τὸ ἀγαθὸν ἐπεγένετο ἅμα ζωῇ καὶ φωτί· καὶ οὐκ ἔτι
ἐπῆλθεν οὐδεμία τοῦ σκότους τιμωρία· ἀλλ' ἐξέπτησαν νικηθεῖσαι ῥοίζῳ.
10 [10] Ἔγνωκας, ὦ τέκνον, τῆς παλιγγενεσίας τὸν τρόπον. τῆς δεκάδος
παραγινομένης, ὦ τέκνον, συνετέθη νοερὰ γένεσις, καὶ τὴν δωδεκά-
την ἐξελαύνει. καὶ ἐθεωρήθημεν τῇ γενέσει. Ὅστις οὖν ἔτυχε κα-
τὰ τὸ ἔλεος τῆς κατὰ θεὸν γενέσεως, τὴν σωματικὴν αἴσθησιν καταλι-

relicto sensu corporeo, seipsum ex istis constructum noscit,ac
stabilis effectus a Deo lętatur. O Pater,non oculorum aspectu
imaginor, ast intelligibili facultatum efficacia, in cœlo sum,in
terra,in aqua,in aere,in animalib.sum, in plantis, in vtero, ante
vterũ,post vterum,vbiq;. [11] At insuper id mihi dicas. Quanã 11
arte tenebrarum vltrices duodecim numero,a decem virtutib.
propulsæ sunt. Quæ forma,o Trismegiste? Tabernaculũ hoc,
o fili,* quod exuimus|,ex circulo animaliũ latore constat,qui-
quidẽ ex duodecim numeris vnius naturę ac omniformis ideæ
constructus est. [12] Ad errorẽ tamen hominis,o fili,distinctio- 12
nes in ipsis existunt,in operatione cõnexæ. Temeritas nãq; ab
ira non discernitur.* Sunt & indefinitæ|. Iure itaq; secundũ re-
ctam rationẽ diuisionem efficiunt, vt pote a decem potentijs
propulsæ,hoc est a denario. Denarius nãq;, o fili, animæ geni-
tor est: vita autẽ ac lux cõnexæ sunt, quando vnitatis numerus
natus est a spiritu. Iure itaq; vnitas denarium habet,ac denarius
vnitatẽ. [13] Omne video,Pater,ac in mente meipsum. Is est re- 13
nascendi habitus,o fili,non vltra in corpus triplici dimensione
distans imaginari, propter hunc de regenerandi modo sermo-
nem,* in quem cõmentarium feci|. Ne totius vniuersi calum-
niatores in vulgus habeamur, ad quos ipse Deus hæc non vult
prodire. [14] Fare mihi,o Pater. Hoc corpus quod ex potentijs 14
constat,solutionẽ ne quondã patietur? Melius ominare, & quę
fieri non possunt,ne proferas. Quandoquidẽ peccares,& mẽtis
tuæ oculus fieret impius. Hoc sensibile naturæ corpus,eminus
est ab essentiali generatione. Hoc etenim dissolubile,illud vero
indissolubile,hoc mortale, illud immortale. Ignoras quod na-
tura Deus es,ac vnius filius,atq; ego. [15] Optarem,o Pater,per 15
hymnum,benedictionẽ potentiarum,quã in octonario me na-
to dicebas audire. Quemadmodũ octonario Pimandras vati-
cinatus est,o fili,sanctè tabernaculi solutionem properas,nẽpe
purgatus. Pimandras eius qui per se est Mens, non plura mihi
quam scripta sunt tradidit,percipiens quod a meipso omnia in-
telligere possim,* ac quæ cupiã audire,videreq; cuncta: & ille
pulchra me facere siuit|. Quocirca virtutes quæ in me sunt, in
omnib.cõcinũt. [16] Volo,pater,audire atq; hęc intelligere cu- 16

τῶν, ἑαυτὸν γνωρίζει ἐκ τούτων συνιστάμενος, καὶ εὐφραίνεται ἀ-
κλινὴς γενόμενος ὑπὸ τοῦ θεοῦ. ὦ πάτερ, φαντάζομαι οὐχ ὁράσει ὀ-
φθαλμῶν, ἀλλὰ τῇ διὰ δυνάμεων νοητικῇ ἐνεργείᾳ, ἐν οὐρανῷ
εἰμὶ, ἐν γῇ, ἐν ὕδατι, ἐν ἀέρι, ἐν ζώοις εἰμὶ, ἐν φυτοῖς, ἐν γα-
11 στρὶ, πρὸ γαστρὸς, μετὰ γαστέρα πανταχοῦ. [11] Ἀλλ' ἔτι τοῦτό
μοι εἰπὲ, πῶς αἱ τιμωρίαι τοῦ σκότους οὖσαι ἀριθμῷ δώδεκα,
ὑπὸ δέκα δυνάμεων ἀπωθοῦνται. τίς ὁ τρόπος, ὦ τρισμέγιστε.
Τὸ σκῆνος τοῦτο, ὦ τέκνον, ὃ διεξεληλύθαμεν, ἐκ τοῦ ζωηφόρου
κύκλου συνέστη· καὶ τούτου συνεστῶτος, ἐξ ἀριθμῶν δώδεκα ὄν-
12 των τὸν ἀριθμὸν, φύσεως μιᾶς παντομόρφου ἰδέας. [12] Εἰς πλά-
νην τοῦ ἀνθρώπου διαζυγαὶ ἐν αὐταῖς εἰσὶν, ὦ τέκνον, ἡνωμέναι
ἐν τῇ πράξει. ἀχώριστός ἐστιν ἡ προπέτεια τῆς ὀργῆς· εἰσὶ δὲ
καὶ ἀόριστοι. εἰκότως οὖν κατὰ τὸν ὀρθὸν λόγον, τὴν ἀπόστασιν
ποιοῦνται, καθὼς καὶ ἀπὸ δέκα δυνάμεων ἐλαυνόμεναι, τουτέ-
στιν ἀπὸ τῆς δεκάδος. ἡ γὰρ δεκὰς, ὦ τέκνον, ἐστὶ ψυχογόνος. ζωὴ
δὲ καὶ φῶς, ἡνομέναι εἰσὶν, ἔνθα ὁ τῆς ἑνάδος ἀριθμὸς πέφυκε
τοῦ πνεύματος. ἡ ἑνὰς οὖν κατὰ λόγον τὴν δεκάδα ἔχει, καὶ ἡ δε-
13 κὰς τὴν ἑνάδα. [13] Πάτερ τὸ πᾶν ὁρῶ, καὶ ἐμαυτὸν ἐν τῷ νοΐ.
Αὕτη ἐστὶν ἡ παλιγγενεσία, ὦ τέκνον, τὸ μηκέτι φαντάζεσθαι εἰς
τὸ σῶμα τὸ τριχῇ διαστατὸν, διὰ τὸν λόγον τοῦτον τὸν περὶ τῆς
παλιγγενεσίας, εἰς ὃν ὑπεμνηματισάμην, ἵνα μὴ ὦμεν διάβολοι
τοῦ παντὸς εἰς τοὺς πολλοὺς, εἰς οὓς † αὐτὸς οὐ θέλει θεός. † αὐτοῦ
14 [14] Εἰπέ μοι, ὦ πάτερ, σῶμα τοῦτο τὸ ἐκ δυνάμεων συνεστὸς
λύσιν ἴσχει ποτέ; Εὐφήμησον. καὶ μὴ ἀδύνατα φθέγγου, ἐπεὶ
ἁμαρτήσεις, καὶ ἀσεβηθήσεταί σου ὀφθαλμὸς τοῦ νοῦ. τὸ αἰσθη-
τὸν τῆς φύσεως σῶμα, πόρρωθέν ἐστι τῆς οὐσιώδους γενέσεως. τὸ
μὲν γάρ ἐστι διαλυτὸν, τὸ δὲ ἀδιάλυτον· καὶ τὸ μὲν θνητὸν, τὸ δὲ
ἀθάνατον. ἀγνοεῖς ὅτι θεὸς πέφυκας, καὶ τοῦ ἑνὸς παῖς, ὃ κἀγώ;
15 [15] Ἐβουλόμην, ὦ πάτερ, τὴν διὰ τοῦ ὕμνου εὐλογίαν, ἣν ἔφης
ἐπὶ τὴν ὀγδοάδα γενομένου μου ἀκοῦσαι τῶν δυνάμεων. Καθὼς
ὀγδοάδα ὁ Ποιμάνδρης ἐθέσπισε τέκνον, καλῶς σπεύδεις λῦσαι
τὸ σκῆνος, κεκαθαρμένος γάρ. ὁ Ποιμάνδρης, ὁ τῆς αὐθεντίας νοῦς,
πλέον μοι τῶν ἐγγεγραμμένων οὐ παρέδωκεν, εἰδὼς ὅτι ἀπ' ἐμαυτοῦ
δυνήσομαι πάντα νοεῖν καὶ ἀκούειν ὧν βούλομαι, καὶ ὁρᾶν τὰ πάντα· καὶ
ἐπέτρεψέ μοι ἐκεῖνος ποιεῖν τὰ καλά. διὸ καὶ ἐν πᾶσιν καὶ αἱ δυνάμεις
16 αἱ ἐν ἐμοὶ ᾄδουσι. [16] Θέλω πάτερ ἀκοῦσαι, καὶ βούλομαι ταῦτα νοῆσαι.

pio. Sile,o fili, & cōpoſitam nunc benedictionem auſculta,re-
naſcendi hymnum:quē inconſulte in lucē ſic promere nō cen-
ſui : niſi tibi in fine totius.Quare hoc non edocetur , quinimo
in ſilentio deliteſcit. Sic itaq;,o fili,in loco ſubdiuali ſtās,auſtrū
ventū aſpectans,circa Solis occumbentis lapſum,adora.Haud
ſecus & redeunte Sole,ad ſubſolanum. O fili,itaque quieſce.

CANTIO ARCANA.

[17] Omnis mundi natura hymni auditū excipiat.Diſſecare Ter- 17
ra.Perfringatur omnis pluuiæ vectis. Arbores ne tremite. Cā-
taturus ſum fabricæ dominū,& omne ac vnum.Perrumpimini
cœli. Quieſcite venti. Immortalis Dei circulus meam preca-
tionē ſuſcipiat. Omnia nāq; conſtruentē cantare debeo , eum
qui Terrā concreuit:Cœlum appendit:ex oceano aquam dul-
cem * in terrā cultam & incultam|exiſtere iuſſit,in alimentum
& poſſeſſionem cunctorum hominum.Qui ignem ſplendere
in omnē operationē Dijs ac hominib. imperauit. Omnes vna
ipſi benedictionem præſtemus in cœlis ſublimi,vniuerſę natu-
re ſtructori. Iſte qui mentis eſt oculus , mearum potentiarum
benedictionē recipiat. [18] Quæ in me eſtis potentiæ vnum & 18
omne canite. Cum voluntate mea omnes quæ in me eſtis vir-
tutes concinite. Notitia ſancta,a te illuſtratus,lux intelligibilis
per te pſallens,in mentis iubilo lætor. Potentiæ meæ cunctæ,
vna mecum pſallite.Tu quoq; tēperantia mecum cane. Iuſtitia
mea iuſtum per me canta. Cōmunio,quæ in me es,totū cane.
Per me,o Veritas,veritatem cane. O Bonum, Bonum cane.O
Vita,& lux a nobis ad vos benedictio tranſcendit.O Pater,vir-
tutum efficacia,tibi gratias ago. O Deus , mearum efficaciarū
virtus,grates tibi rependo.Per me tuum verbum te pſallit: per
me,o Totum,verbo verborum ſacrificium excipe. [19] Hęc quę 19
in me ſunt potentiæ,vociferantur:te totum cōcinunt,tuam vo-
luntatē peragunt. Abs te tua voluntas ad te, o Totum. A cun-
ctis verborum hoſtiā ſuſcipe.Totum quod in nobis eſt,o Vita,
ſerua,o lux illuſtra,o ſpiritus Deus. Tuum nāq; ſermonē mens
gubernat: o ſpiritus lator opifex.Tu es Deus.Hęc tuus homo,
per ignem,per aerem,per terram,per aquam,per ſpiritum,per

Ἡσύχασον, ὦ τέκνον, καὶ τῆς ἁρμοζούσης νῦν ἄκουε εὐλογίας, τὸν ὕμνον τῆς παλιγγενεσίας, ὃν οὐκ ἔκρινα οὕτως ἐκφάναι εὐκόλως, εἰ μὴ σοὶ ἐπὶ τέλει τοῦ παντός· ὅθεν τοῦτο οὐ διδάσκεται, ἀλλὰ κρύπτεται ἐν σιγῇ. οὕτως οὖν, ὦ τέκνον, † στὰς ἐν ὑπαίθρῳ τόπῳ, νότῳ ἀνέμῳ ἀπο- † τὰς
βλέπων, περὶ καταφορὰν ἡλίου δύνοντος προσκύνει, ὁμοίως καὶ ἀνιόντος πρὸς ἀπηλιώτην. ἡσύχασον οὖν, ὦ τέκνον.

ΥΜΝΩΔΙΑ ΚΡΥΠΤΗ.

17 [17] ΠΑΣΑ φύσις κόσμου, προσδεχέσθω τοῦ ὕμνου τὴν ἀκοήν.
ἀνοίγηθι γῆ, ἀνοιγήτω μοι πᾶς μοχλὸς ὄμβρου. τὰ δένδρα μὴ
σείεσθε. ὑμνεῖν μέλλω τὸν τῆς κτίσεως κύριον, καὶ τὸ πᾶν, καὶ τὸ
ἕν. ἀνοίγητε οὐρανοί, ἄνεμοί τε στῆτε. ὁ κύκλος ὁ ἀθάνατος τοῦ θεοῦ,
προσδεξάσθω μου τὸν λόγον. μέλλω γὰρ ὑμνεῖν τὸν κτίσαντα πάν-
τα, τὸν πήξαντα τὴν γῆν, καὶ οὐρανὸν κρεμάσαντα, καὶ ἐπιτά-
ξαντα ἐκ τοῦ ὠκεανοῦ τὸ γλυκὺ ὕδωρ εἰς τὴν οἰκουμένην καὶ ἀοί-
κητον ὑπάρχειν εἰς διατροφὴν καὶ κτῆσιν πάντων ἀνθρώπων· τὸν
ἐπιτάξαντα πῦρ φανῆναι εἰς πᾶσαν πρᾶξιν θεοῖς τε καὶ ἀνθρώ-
ποις. δῶμεν πάντες ὁμοῦ αὐτῷ τὴν εὐλογίαν τῷ ἐπὶ τῶν οὐ-
ρανῶν μετεώρῳ, τῷ πάσης φύσεως κτίστῃ. οὗτός ἐστιν ὁ τοῦ νοῦ
18 ὀφθαλμός. καὶ δέξαιτο τῶν δυνάμεών μου τὴν εὐλογίαν. [18] Αἱ
δυνάμεις αἱ ἐν ἐμοί, ὑμνεῖτε τὸ ἕν, καὶ τὸ πᾶν. συνᾴσατε τῷ θε-
λήματί μου πᾶσαι αἱ ἐν ἐμοὶ δυνάμεις. γνῶσις ἁγία, φωτισθεὶς
ἀπὸ σοῦ, διὰ σοῦ τὸ νοητὸν φῶς ὑμνῶν, χαίρω ἐν χαρᾷ νοῦ. πᾶ-
σαι δυνάμεις ὑμνεῖτε σὺν ἐμοί, καὶ σύ μοι ἐγκράτεια ὕμνει. δικαιο-
σύνη μου τὸ δίκαιον ὕμνει δι᾽ ἐμοῦ. κοινωνία ἡ ἐν ἐμοὶ τὸ πᾶν ὕμνει.
δι᾽ ἐμοῦ ὕμνει ἀλήθεια τὴν ἀλήθειαν. τὸ ἀγαθὸν ἀγαθὸν ὕμνει.
ζωὴ καὶ φῶς, ἀφ᾽ ἡμῶν εἰς ὑμᾶς χωρεῖ ἡ εὐλογία. εὐχαριστῶ σοι πά-
τερ, ἐνέργεια τῶν δυνάμεων. εὐχαριστῶ σοι θεέ, δύναμις τῶν ἐνεργειῶν
μου. ὁ σὸς λόγος δι᾽ ἐμοῦ ὑμνεῖ σε. δι᾽ ἐμοῦ δέξαι τὸ πᾶν λόγῳ, λο-
19 γικὴν θυσίαν. [19] Ταῦτα βοῶσιν αἱ δυνάμεις αἱ ἐν ἐμοί. σὲ τὸ
πᾶν ὑμνοῦσι. τὸ σὸν θέλημα τελοῦσιν. ἡ σὴ βουλὴ ἀπὸ σοῦ. ἐπὶ
σὲ τὸ πᾶν. δέξαι ἀπὸ πάντων λογικὴν θυσίαν. τὸ πᾶν τὸ ἐν ἡμῖν,
σῶζε ζωή· φώτιζε φῶς, πνεῦμα θεέ. λόγον γὰρ τὸν σὸν ποιμαίνει ὁ
νοῦς, πνευματοφόρε δημιουργέ. σὺ εἶ ὁ θεός, ὁ σὸς ἄνθρωπος ταῦτα
βοᾷ, διὰ πυρός, δι᾽ ἀέρος, διὰ γῆς, διὰ ὕδατος, διὰ πνεύματος, διὰ

tua opera clamat. A tuo æuo benedictionem adeptus ſum.
Quicquid vero quærã,voluntati tuę me reprimo. [20] O Pater, 20
benedictionem hanc tuo arbitrio enunciari intuitus ſum: eam quoq; in meo mundo locaui. In intelligibili dixeris, o fili. In intelligibili dicere poſſum, o Pater. A tua cantione tuaq; benedictione illuſtrata mens mea eſt. Cæterũ opto pariter ego a mẽte propria benedictionẽ Deo mittere. Ne incaute, o fili. [21] In 21
mente, o Pater. Quæ ſpeculor ego Tat, tibi profero authori opificij generationis Deo, verborũ hoſtias mitto. Tu Deus Pater, Tu Dominus, Tu Mens. Verbalia quæ vis a me ſuſcipe. Te nanq; volẽte cuncta peraguntur. Tu, o fili, Deo patri omnium acceptã oblationem mitte.* Verum, o fili, per Verbum adde|. Tibi, o Pater, gratias ago, qui me hęc volentẽ gratum habueris. Lætor, o fili, te ex veritate fructum edidiſſe bona, immortalia quippe genimina. Hoc a me edoctus virtutis, ſilentium profitere, nemini exponens, o fili, regenerationis ritum, ne velut calumniatores habeamur. Affatim namque noſtrum vnuſquiſq; ſtudium impendit, ego dicens, tu vero audiens: teipſum intelligentia noſti, ac noſtrum patrem.

MERCVRII TRISMEGISTI, AESCVLAPIO, BENE SAPERE,

CAPVT DECIMVMQVARTVM.

Quandoquidẽ filius meus Tat, cum abeſſes, 1
eorum quæ ſunt, naturã ediſcere cupiuit: cunctari vero me non paſſus eſt,* tanquã filius | & iunior nouiſſime prodiens ad vniuſcuiuſq; noticiã, plura dicere ſuſtinui, vt illi intellectu facilis fieret ſpeculatio. Tibi vero potiſſima eorũ quæ dicta ſunt capita deligẽs, paucis ſcribere volui, ipſa magis ſecretè explicãs,
vt pote tanto ac naturæ ſcientiſſimo. [2] An oĩa quæ apparent 2
facta ſint & fiãt. Nã quæ fiunt non a ſe quinetiam ab alio fiunt. Plura autẽ ſunt facta. Omnia potiſſimũ quæ apparẽt, & cuncta diſcrepantia ac nõ ſimilia. Quę autẽ fiunt ab alio fiunt. Eſt quiſ-

τῶν κτισμάτων σου. ἀπὸ σοῦ αἰῶνος εὐλογίαν εὗρον· καὶ ὃ ζητῶ,
20 βουλῇ τῇ σῇ ἀναπέπαυμαι. [20] Εἶδον θελήματι τῷ σῷ τὴν εὐ-
λογίαν ταύτην λεγομένην, ὦ πάτερ, τέθεικα καὶ ἐν κόσμῳ τῷ
ἐμῷ. Ἐν τῷ νοητῷ λέγε τέκνον. Ἐν τῷ νοητῷ, ὦ πάτερ, δύνα-
μαι· ἐκ τοῦ σοῦ ὕμνου, καὶ τῆς σῆς εὐλογίας, ἐπιπεφώτισταί μου ὁ
νοῦς. † πλέον θέλω κἀγὼ πέμψαι ἐξ ἰδίας φρενὸς, εὐλογίαν τῷ † πλὴν
21 θεῷ. Ὦ τέκνον, μὴ ἀσκόπως. [21] Ἐν τῷ νῷ, ὦ πάτερ. ἃ θεωρῶ
λέγω σοι γενάρχα τῆς γενεσιουργίας Τὰτ θεῷ πέμπω λογικὰς θυ-
σίας. θεὲ σὺ πάτερ, σὺ ὁ κύριος· σὺ ὁ νοῦς· δέξαι λογικὰς ἃς θέ-
λεις ἀπ' ἐμοῦ. σοῦ γὰρ βουλομένου πάντα τελεῖται. Σὺ, ὦ τέ-
κνον, πέμψον δεκτὴν θυσίαν τῷ πάντων πατρὶ θεῷ. ἀλλὰ καὶ
πρόσθες, ὦ τέκνον, διὰ τοῦ λόγου. Εὐχαριστῶ σοι πάτερ ταῦτά
μοι αἰνεῖν εὐξαμένῳ. Χαίρω τέκνον, καρποφορήσαντος ἐκ τῆς ἀ-
ληθείας τὰ ἀγαθὰ, τὰ ἀθάνατα γεννήματα. τοῦτο μαθὼν παρ'
ἐμοῦ τῆς ἀρετῆς, σιγὴν † ἐπάγγελλαι, μηδενὶ τέκνον ἐκφαίνων τῆς † ἐπάγγελλε,
παλιγγενεσίας τὴν παράδοσιν, ἵνα μὴ ὡς διάβολοι λογισθῶμεν.
ἱκανῶς γὰρ ἕκαστος ἡμῶν ἐπεμελήθη, ἐγώ τε ὁ λέγων, σύ τε ὁ ἀκούων.
νοερῶς ἔγνως σεαυτὸν, καὶ τὸν πατέρα τὸν ἡμέτερον.

ΕΡΜΟΥ ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ, ΑΣΚΛΗΠΙΩΙ ΕΥ ΦΡΟΝΕΙΝ.

1 ΕΠΕΙ ὁ υἱός μου Τὰτ, ἀπόντος σου τὴν τῶν
ὄντων ἠθέλησε φύσιν μαθεῖν, ὑπερθέσθαι δέ
μοι οὐκ ἐπέτρεπεν, ὡς υἱὸς καὶ νεώτερος ἄρτι
παρελθὼν ἐπὶ τὴν γνῶσιν τῶν περὶ ἑνὸς ἑκάστου,
ἠναγκάσθην πλείονα εἰπεῖν, ὅπως εὐπαρακολού-
θητος αὐτῷ γένηται ἡ θεωρία. σοὶ δὲ ἐγὼ τῶν λε-
χθέντων τὰ κυριώτατα κεφάλαια ἐκλεξάμενος, δι' ὀλίγων ἠθέλη-
σα ἐπιστεῖλαι, μυστικώτερον αὐτὰ ἑρμηνεύσας, ὡς ἂν τηλικούτῳ καὶ
2 ἐπιστήμονι τῆς φύσεως. [2] Εἰ τὰ φαινόμενα πάντα γέγονε καὶ
γίνεται· τὰ δὲ γεννητὰ, οὐχ ὑφ' ἑαυτῶν, ἀλλ' ὑφ' ἑτέρου γίνεται·
πολλὰ δὲ γεννητά· μᾶλλον δὲ πάντα τὰ φαινόμενα, καὶ πάντα τὰ
διάφορα, καὶ οὐχ ὅμοια· γίνεται δὲ ὑφ' ἑτέρου τὰ γινόμενα· ἔστι τις

piam hæc efficiens,& hic ingenitus,vt ijs quæ facta ſunt ſenior
exiſtat. Nā facta ab alio fieri dico.Eorum autē quæ facta ſunt,
nihil antiquius omnib.eſſe poteſt,quam ſolus ingenitus. [3] Hic 3
autē potentior & vnus ac ſolus omnia ſciens extat, tanquam
nihil antiquius habens.prælucet enim, tum frequentia, tum &
amplitudine,ac genitorum diſcrepantia,& operationis aſſidui
tate.Genita ſane aſpectui ſubduntur,ipſe vero conſpici nō po-
teſt.Hāc nāq; de cauſa efficit,vt videri non poſſit:ſemper vtiq;
facit.Viſui itaq; non ſubeſt.Sic par eſt intelligere,& intelligen-
tem admirari, ac admirantē ſeipſum beatum cenſere, Patrem
cognoſcentē. [4] Quid nāq; ingenuo patre dulcius. Quis igitur 4
eſt hic,& quanam arte ipſum cognoſcemus? Num huic ſolam
Dei nomenclaturā aſcribere ęquum eſt,aut factoris,aut Patris,
aut equidem horum trium. Deum quidē ob potentiam,facto-
rem autē ob efficaciam,Patrem vero propter bonum. Potētia
quidē a genitis diſcrepat:efficacia vero in eo quod omnia fiunt
habetur. Quocirca loquacitatē & vaniloquium propulſantes,
duo hæc conſiderare decet,factū ſcilicet & faciens. nā horum
medium nullum eſt,nec tertium quicquam. [5] Idcirco cuncta 5
cognoſcens,& cuncta audiens,duorū horum reminiſcere,atq;
hæc arbitrare omnia eſſe,nihil in ambiguo conſtituens, ſuper-
norum aut infernorum,diuinorum aut mutabilium,vel eorum
quæ in penetrali ſunt.Duo nanq; omnia exiſtunt,factum vide-
licet & faciens.Alterum autē ab altero ſecerni nō poteſt.Neq;
etenim faciēs ſine facto eſſe poteſt. Vtrūq; enim ipſorum hoc
ipſum eſt.Quapropter non eſt quod alterum ab altero diſtraha
tur,aſt ipſum in ſeipſo eſt. [6] Si quidē faciens nil aliud eſt ab eo 6
quod ſolum facit, ſimplex & incōſtructum facere hoc ſibi idē
neceſſarium eſt, cui facientis generatio eſt ipſum efficiens. Et
omne quod fit,a ſe factum eſſe nō poteſt.Nam quod fit,ab alio
fieri neceſſe eſt.Abſq; faciente enim factum nec fit,nec eſt.Nā
alterum ſine altero peculiarem naturā abſumit, alterius ſpolia-
tione.Atqui ſi duo in confeſſo fuerint, quod fit & quod efficit
vnum ſunt vnitate.Vnum quidē antecedens,aliud vero conſe-
quens.Antecedens quidē Deus efficiens, conſequens vero id
quod factum eſt qualequunq; ſit. [7] Ac propter eorum quæ fa- 7

ὁ ταῦτα ποιῶν, καὶ οὗτος ἀγέννητος, ἵν' ᾖ πρεσβύτερος τῶν γεννη-
τῶν. τὰ γὰρ γεννητά φημι ὑφ' ἑτέρου γίνεσθαι· τῶν δὲ γεννητῶν
ὄντων ἀδύνατόν τι πρεσβύτερον πάντων εἶναι, ἢ μόνον τὸ ἀγέννη-
3 τον. 3 Οὗτος δὲ κρείττων, καὶ εἷς, καὶ μόνος ὄντως σοφὸς τὰ
πάντα, ὡς μὴ ἔχων μηδὲν πρεσβύτερον· ἄρχει γὰρ καὶ τῷ πλή-
θει, καὶ τῷ μεγέθει, καὶ τῇ διαφορᾷ τῶν γενομένων, καὶ τῇ
συνεχείᾳ τῆς ποιήσεως. ἔπειτα δὲ τὰ γεννητὰ, ὁρώμενά ἐστιν, ἐ-
κεῖνος δὲ ἀόρατος. διὰ τοῦτο γὰρ ποιεῖ, ἵνα ἀόρατος ᾖ. ἀεὶ οὖν ποιεῖ.
ἀόρατος τοιγαροῦν ἐστίν. οὕτως ἄξιόν ἐστι νοῆσαι, καὶ νοήσαντα θαυ-
μάσαι, καὶ θαυμάσαντα ἑαυτὸν μακαρίσαι, τὸν πατέρα γνωρίσαντα.
4 4 Τί γὰρ γλυκύτερον πατρὸς γνησίου. τίς οὖν ἐστὶν οὗτος, καὶ
πῶς αὐτὸν γνωρίσομεν. ἢ τούτῳ τὴν τοῦ θεοῦ προσηγορίαν † μό- † μόνῳ
νον δίκαιον ἀνακεῖσθαι, ἢ τὴν τοῦ ποιητοῦ, ἢ τὴν τοῦ πατρὸς, ἢ καὶ
τὰς τρεῖς· θεὸν μὲν, διὰ τὴν δύναμιν· ποιητὴν δὲ, διὰ τὴν ἐνέρ-
γειαν· πατέρα δὲ, διὰ τὸ ἀγαθόν. δύναμις γάρ ἐστι διάφορος τῶν
γενομένων· ἐνέργεια δὲ, ἐν τῷ πάντα γίνεσθαι. διὸ τῆς πολυλογίας
τε καὶ ματαιολογίας ἀπαλλαγέντας, χρὴ νοεῖν δύο ταῦτα, τὸ γι-
νόμενον καὶ τὸν ποιοῦντα. μέσον γὰρ τούτων οὐδὲν, οὐδὲ τρίτον τί.
5 5 Πάντα οὖν νοῶν, καὶ πάντα ἀκούων, τῶν δύο τούτων μέ-
μνησο· καὶ ταῦτα εἶναι νόμιζε τὰ πάντα, μηδὲν ἐν ἀπορίᾳ τιθέ-
μενος, μὴ τῶν ἄνω, μὴ τῶν κάτω, μὴ τῶν θείων, μὴ τῶν με-
ταβλητῶν, ἢ τῶν ἐν μυχῷ. δύο γάρ ἐστι τὰ πάντα, τὸ γινόμε-
νον καὶ τὸ ποιοῦν· καὶ διαστῆναι τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου οὐ
δύναται. οὔτε γὰρ τὸν ποιοῦντα χωρὶς τοῦ γινομένου δυνατὸν
εἶναι. ἑκάτερος γὰρ αὐτῶν, αὐτὸ τοῦτό ἐστι· διὸ οὐκ ἔστι τὸ ἕ-
τερον τοῦ ἑτέρου χωρισθῆναι· ἀλλ' αὐτὸ ἑαυτοῦ.
6 6 Εἰ γὰρ ὁ ποιῶν ἄλλο οὐδέν ἐστιν, ἢ τὸ ποιοῦν μόνον, ἁ-
πλοῦν, ἀσύνθετον, ποιεῖν ἀνάγκη τοῦτο αὐτὸ ἑαυτῷ, ᾧ γένε-
σίς ἐστι τὸ ποιοῦν τοῦ ποιοῦντος· καὶ πᾶν τὸ γινόμενον, ἀδύνα-
τον ὑφ' ἑαυτοῦ γινόμενον εἶναι. γινόμενον δὲ ὑφ' ἑτέρου ἀνάγκη
γίνεσθαι. τοῦ δὲ ποιοῦντος ἄνευ, τὸ γεννητὸν, οὔτε γίνεται, οὔ-
τε ἐστί. τὸ γὰρ ἕτερον τοῦ ἑτέρου ἄνευ, ἀπώλεσε τὴν ἰδίαν φύ-
σιν, στερήσει τοῦ ἑτέρου. εἰ τοίνυν δύο ὡμολόγηται τὸ γινόμενον
καὶ τὸ ποιοῦν, ἕν ἐστι τῇ ἑνώσει, τὸ μὲν προηγούμενον, τὸ δὲ
ἑπόμενον· προηγούμενον μὲν, ὁ ποιῶν θεός· ἑπόμενον δὲ, τὸ
7 γινόμενον ὁποῖον ἂν ᾖ. 7 Καὶ μὴ διὰ τὴν ποικιλίαν τῶν

cta sunt varietatem tibi consule, veritus ne Deo abiectionẽ & gloriæ contemptum imponas. Vna etenim est ipsi gloria, Omnia nempe facere. Et hoc est velut Dei corpus, factio. Operanti autem ipsi, nihil malum, nihil æstimatur obscœnum. Hæc namq; passiones sunt generationis comites, tanquam æris æru go, ac corporis sordes. Non tamen æruginem faber fecit, neq; sordes effector produxit, neque malitiam Deus. Quinetiam generationis perseuerantia, quasi turgescere facit. Quapropter Deus mutationem condidit, velut generationis purgationem.

8 Subhæc, cum eidem pictori Cœlum, Deos, Terram, Mare, Homines, ac cuncta anima & ratione destituta facere cõcedatur. Deus autem hæc efficere non poterit? O dementiam multam, & eorum quæ Dei sunt ignorantiam. Nã quidpiam omnium absurdissimum tales patiuntur. Quum enim Deum se benedicere profitentur, in hoc quod omnium structuram ipsi nõ ascribant, neque Deum intuentur, in eum autem non aspicientes, maxima contra eum impie gerunt, passionem ipsi imponentes, arrogantiam quidem aut impotentiam (nam si cuncta non efficit, aut arrogans est, aut impotẽs) quod impium est. 8

9 Deus enim vnam tantum passionem habet, Bonum. Bonus autem neque arrogans neque impotens est. Hoc namq; Deus est. Bonum autem est omnia construendi vniuersa potestas. Omne autem factum a Deo factum est, quod ad Bonum spectat, & ad eum qui cuncta facere potis est. Conspice quonam modo is operatur, ac quomodo genita fiant. Quod si edoceri cupias: tibi cõceditur pulcherrimam ac similimam imaginem videre. Speculare semen in terram demittẽtem colonum, tum frumentum, tum hordeum, vel aliud quoduis semen. Cõspice ipsum vitem inserentem, malum, ac alias arbores. Ita Deus in cælo quidem immortalitatem seminat, in terra vero mutationem. In vniuerso autem vitam & motum. Hæc quidem haud multa sunt, quinimo perpauca & numeratu facilia. Vniuersa namque quatuor sunt, & ipse Deus ac generatio, in quibus quæ sunt, existunt. 9

γινομένων φυλάξῃ ὁ φοβούμενος μὴ ταπεινότητα, καὶ ἀδοξίαν τῷ θεῷ
περιάψῃς. μία γάρ ἐστιν αὐτῷ δόξα, τὸ ποιεῖν τὰ πάντα, καὶ τοῦτό
ἐστι τοῦ θεοῦ ὥσπερ σῶμα, ἡ ποίησις· αὐτῷ δὲ τῷ ποιοῦντι, οὐδὲν κακὸν,
οὐδὲ αἰσχρὸν νομιζόμενον. ταῦτα γάρ ἐστι τὰ πάθη τὰ τῇ γενέσει πα-
ρεπόμενα, ὥσπερ ἰὸς τῷ χαλκῷ· καὶ ὁ ῥύπος τῷ σώματι· ἀλλ᾽ οὔτε
ἰὸν ὁ χαλκουργὸς ἐποίησεν, οὔτε τὸν ῥύπον ὁ ποιητὴς γεγέννηκεν, οὔτε
τὴν κακίαν ὁ θεός· ἡ δὲ τῆς γενέσεως διαμονὴ, καθάπερ ἐξανθεῖν
ποιεῖ, καὶ διὰ τοῦτο ἐποίησε τὴν μεταβολὴν ὁ θεὸς, ὥσπερ ἀνακάθαρ-
8 σιν τῆς γενέσεως. 8 Εἶτα τῷ μὲν αὐτῷ ζωγράφῳ, ἔξεστι καὶ οὐρα-
νὸν ποιῆσαι, καὶ θεοὺς, καὶ γῆν, καὶ θάλασσαν, καὶ ἀνθρώπους, καὶ τὰ ἄλο-
γα πάντα, καὶ τὰ ἄψυχα. τῷ δὲ θεῷ ἀδύνατον ταῦτα ποιεῖν; ὢ τῆς
πολλῆς ἀνοίας καὶ ἀγνωσίας, τῆς περὶ τὸν θεόν· τὸ γὰρ πάντων καινότα-
τον πάσχουσιν οἱ τοιοῦτοι. τὸν γὰρ θεὸν φάσκοντες εὐλογεῖν, τῷ μὴ τὴν τῶν
πάντων ποίησιν αὐτῷ ἀνατιθέναι, οὔτε τὸν θεὸν οἴδασι· πρὸς δὲ τῷ μὴ
εἰδέναι, καὶ τὰ μέγιστα εἰς αὐτὸν ἀσεβοῦσι, πάθη αὐτῷ περιτιθέντες,
ὑπερηφανίαν, ἢ ἀδυναμίαν. εἰ μὴ γὰρ πάντα ποιεῖ, ἢ ὑπερήφανός ἐστιν, ἢ
9 μὴ δυνάμενος, ὅπερ ἐστὶν ἀσεβές. 9 Ὁ γὰρ θεὸς, ἓν μόνον πάθος ἔχει,
τὸ ἀγαθόν· ὁ δὲ ἀγαθὸς, οὔτε ὑπερήφανος, οὔτε ἀδύνατος. τοῦτο γάρ
ἐστιν ὁ θεός. τὸ γὰρ ἀγαθὸν, ἡ πᾶσα δύναμις τοῦ ποιεῖν τὰ πάντα· πᾶν
δὲ τὸ γεννητὸν, ὑπὸ τοῦ θεοῦ γέγονεν, ὅπερ ἐστὶ τοῦ ἀγαθοῦ, καὶ τοῦ τὰ
πάντα δυναμένου ποιεῖν. ἴδε πῶς μὲν αὐτὸς ποιεῖ. πῶς δὲ τὰ γινό-
μενα γίνεται, καὶ εἰ βούλει μαθεῖν, ἔξεστί σοι ἰδεῖν εἰκόνα καλλίστην καὶ
ὁμοιοτάτην. ἴδε γεωργὸν σπέρμα καταβάλλοντα εἰς γῆν, ὅπου μὲν
πυρὸν, ὅπου δὲ κριθὴν, ὅπου δὲ ἄλλό τι τῶν σπερμάτων. ἴδε τὸν αὐτὸν
ἄμπελον φυτεύοντα, καὶ μηλέαν, καὶ τὰ ἄλλα τῶν δένδρων· οὕτως ὁ θεὸς,
ἐν μὲν οὐρανῷ, ἀθανασίαν σπείρει· ἐν δὲ γῇ, μεταβολήν· ἐν δὲ τῷ
παντὶ, ζωὴν καὶ κίνησιν. ταῦτα δὲ οὐ πολλά ἐστιν, ἀλλ᾽ ὀλίγα καὶ
εὐαρίθμητα. τὰ γὰρ πάντα τέσσαρά ἐστι, καὶ αὐτὸς ὁ θεὸς, καὶ ἡ γένεσις,
ἐν οἷς τὰ ὄντα ἐστίν.

EX IOANNIS STOBÆI COLLE-
CTANEIS. MERCVRII, EX IIS
QVAE AD TAT,

CAPVT DECIMVMQVINTVM.

De veritate,o Tat,non poteſt homo(animal 1
imperfectum imperfectis membris cõſtru-
ctum ac multis & alienis corporib.) taber-
naculum conſtans audacter dici. Quod autē
eſſe poteſt, & iuſtum eſt, hoc dico veritatē
eſſe,in ſolis perpetuis corporibus:quorũ ip-
ſa corpora vera ſunt. Ignis ipſe ignis tantũ,
nihilq; aliud. Terra ipſa terra,ac nil aliud. Aer ipſe aer. Noſtra
autē corpora,ex his cunctis conſtituta ſunt. habent autē ignis,
habēt terræ,habēt aquæ & aeris aliquid,& nec ignis,nec terra,
nec aqua,nec aer ſunt,nec verum quicquam. [2] Si autem noſtri 2
conſtitutio initium veritatē non adepta ſit,quanam arte poteſt
videri aut dici veritas, at intelligi tantũ ſi Deo libuerit? Omnia
itaq;,o Tat,quæ in terra ſunt, non equidē veritas ſunt,ſed veri-
tatis ſimulacra,ac non omnia,quinimo pauca hæc:cætera vero
mendacium ſunt & dolus, o Tat, ac imaginationis opiniones,
effigierum inſtar cõpoſita. [3] Cum vero e ſublimi imaginatio 3
influxum habuerit,tum fit imitatio veritatis. Nã ſemota ſuper-
na efficacia,mendaciũ relinquitur. Et velut imago picturę qui-
dē corpus indicat,ipſa tamen iuxta eius quod ſpectatur imagi-
nē corpus non eſt: & oculos quidē videtur habere & aures: vi-
det autē nihil,ac nihil penitus audit. Habet inſuper reliqua oĩa
pictura,ſed cõmenta ſunt intuentiũ viſus fruſtrantia,qui tamen
veritatem intueri putant, quum procul dubio mendacia ſint.
[4] Nam quicunq; mendacium non vident, veritatē vident. Si 4
itaq; ſingula horũ ita cognoſcamus,& cernamus,vti ſunt: vera
intelligimus & videmus: ſi autē præter id quod eſt: nihil verũ
intelligemus,aut ediſcemus. Eſt ne igitur,o Pater,in terra veri-
tas? Non incaute deciperis,o fili. Nã veritas,o Tat,in terra non
eſt,ne quidē fuiſſe poteſt. De veritate autē aliquos homines in
telligere,quib. ſpeculatiuã Deus facultatē pręſtiterit,factũ eſſe.

ΕΚ ΤΩΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΣΤΟΒΑΙΟΥ ΕΚΛΟΓΩΝ. ΕΡΜΟΥ ΕΚ ΤΩΝ ΠΡΟΣ ΤΑΤ

1 ΠΕΡΙ ἀληθείας, ὦ Τάτ, οὐκ ἔστι δυνατὸν ἄνθρωπον ὄντα, ζῶον ἀτελὲς, ἐξ ἀτελῶν συγκείμενον μελῶν, καὶ ἐξ ἀλλοτρίων σωμάτων καὶ πολλῶν τὸ σκῆνος συνεστὸς, τολμήσαντα εἰπεῖν. ὃ δ' ἐστὶ δυνατὸν ἢ δίκαιον, τοῦτό φημι, ἀλήθειαν εἶναι ἐν μόνοις τοῖς ἀϊδίοις σώμασιν, ὧν καὶ τὰ σώματα αὐτὰ ἀληθῆ ἐστί· πῦρ αὐτὸ πῦρ μόνον, καὶ οὐδὲν ἄλλο· γῆ αὐτογῆ, καὶ οὐδὲν ἄλλο· ἀὴρ αὐτὸ ἀήρ. τὰ δὲ ἡμέτερα σώματα, ἐκ πάντων τούτων συνέστηκεν. ἔχει μὲν γὰρ πυρὸς, ἔχει δὲ καὶ γῆς, ἔχει καὶ ὕδατος καὶ ἀέρος· καὶ οὔτε πῦρ ἐστὶν, οὔτε γῆ,

2 οὔτε ὕδωρ, οὔτε ἀὴρ, οὔτε οὐδὲν ἀληθές. Εἰ δὲ μὴ τὴν ἀρχὴν ἡ στάσις ἡμῶν ἔσχε τὴν ἀλήθειαν, πῶς ἂν δύναιντο ἀλήθειαν ἢ ἰδεῖν ἢ εἰπεῖν· νοῆσαι δὲ μόνον, ἐὰν ὁ θεὸς θέλῃ. πάντα οὖν, ὦ Τάτ, τὰ ἐπὶ γῆς, ἀλήθεια μὲν οὐκ ἔστι, τῆς δὲ ἀληθείας μιμήματα· καὶ οὐ πάντα, ὀλίγα δὲ ταῦτα. ἄλλα δὲ ψεῦδος καὶ πλάνος, ὦ Τάτ, καὶ δόξαι φαντα-

3 σίας, καθάπερ εἰκόνες συνεστῶτα. [3] Ὅταν δ' ἄνωθεν τὴν ἐπίρροιαν ἔχῃ ἡ φαντασία, τῆς ἀληθείας γίγνεται μίμησις· χωρὶς δὲ τῆς ἄνωθεν ἐνεργείας, ψεῦδος καταλείπεται· καθάπερ καὶ ἡ εἰκὼν, τὸ μὲν σῶμα τῆς γραφῆς δείκνυσιν· αὐτὴ δὲ οὐκ ἔστι σῶμα κατὰ τὴν φαντασίαν τοῦ ὁρωμένου· καὶ ὀφθαλμοὺς μὲν ὁρᾶται ἔχουσα, βλέπει δὲ οὐδέν· καὶ ὦτα, ἀκούει δὲ οὐδὲν ὅλως, καὶ τὰ ἄλλα πάντα ἔχει ἡ γραφή· ψευδῆ δέ ἐστι τὰς τῶν ὁρώντων ὄψεις ἐξαπατῶντα, τῶν μὲν δοκούντων ἀλήθειαν ὁρᾶν, τῶν δὲ ὡς ἀ-

4 ληθῶς ὄντων ψευδῶν. [4] Ὅσοι μὲν οὖν οὐ ψεῦδος ὁρῶσιν, ἀλήθειαν ὁρῶσιν. ἐὰν οὖν ἕκαστον τούτων οὕτω νοῶμεν, ἢ ὁρῶμεν, ὡς ἔστιν, ἀληθῆ καὶ νοοῦμεν καὶ ὁρῶμεν· ἐὰν δὲ παρὰ τὸ ὂν, οὐδὲν ἀληθὲς, οὔτε νοήσομεν, οὔτ' εἰσόμεθα. Ἔστιν οὖν πάτερ, ἀλήθεια καὶ ἐν τῇ γῇ; Καὶ οὐκ ἀσκόπως σφάλλῃ, ὦ τέκνον. ἀλήθεια μὲν οὐδαμῶς ἐστὶν ἐν τῇ γῇ, ὦ Τάτ. οὔτε γὰρ γενέσθαι δύναται· περὶ δὲ ἀληθείας νοῆσαι ἐνίους τῶν ἀνθρώπων, οἷς ἐὰν ὁ θεὸς τὴν θεοπτικὴν δωρήσηται δύναμιν, γενέσθαι.

5 Hoc modo verum non est in terra, cogitatu aut loquutione: 5
quinimo veræ menti & rationi omnia imaginationes sunt ac opiniones. Non itaq; vera dicere aut cogitare hoc veritatem appellare decet. Quid ergo? Quæ sunt, cogitare & dicere conuenit. Sed in terra nihil verum est. Nos quicquã verum nescire, hoc verũ est. Hîc, o fili, quomodo esse potest? Nimirum veritas perfectissima virtus est, ipsum supremũ bonum, quod a materia nõ turbatum est, neq; corpore circunseptum, nudum, splendidum, immotum, augustum, immutabile, Bonum. Quæ autem hic degunt, o fili, qualia videri possunt Boni huiusce capacia? nempe corrumpenda, patibilia, dissolubilia, mutabilia, alterationi dedita, alia ex alijs effecta.
6 Quæ itaq; nec erga seipsa vera sunt, quanã arte vera esse possunt? Omne nanq; quod alteratur cõmentum est: non em̃ in eo, quod est, permanet. Quin etiã se conuertens imaginationes alias ac alias nobis profert. Neq; homo verus est, o Pater? Quatenus homo, o fili, verus nõ est. Verũ etenim est, quod ex se tantum constitutionẽ habet, & quale est, per se manens. Homo vero ex multis cõstat, nec in se manet. Variatur autẽ & mutatur ab ætate in ætatem, & a specie in speciẽ. Hæc autẽ, cum est in tabernaculo. Ac plures pauco interiecto tẽpore filios non nouerunt. Nec rursus itidẽ filij genitores. Quod igitur sic variatur vt cognitum nõ sit, verũ ne esse potest, o Tat? Non, quin e diuerso, vanitas est, in varijs imaginationum mutationib. existens.
7 Tu quidem id verum esse considera, quod permanet, ac iustum est. Homo autẽ non semper extat: non igitur verum quicquã est. Quinimo imaginatio quædam est homo. Imaginatio quippe supremum est mendacium. Neq; igitur hæc, o Pater, perpetua corpora, quandoquidem mutantur, vera sunt? Quicquid sane factũ & mutabile est, verum non est. Quæ autẽ a progenitore facta sunt, verã materiam possunt habuisse. Veruntamẽ & hæc aliquid mendacij in mutatione habent. Nam nihil verum est, quod in se nõ permanet. Verum, o Pater? Quid itaq; dicet aliquis Solem esse, vnicum præter cætera cuncta non mutabilẽ, quinetiam in seipso permanentem? Veritatem. Quocirca omnium quæ in mundo sunt artificium ipsi soli creditum est, omnium duci, ac omnia

5 [5] Οὕτως ἀληθὲς οὐδὲ ἔστιν ἐν τῇ γῇ νόῳ καὶ λόγῳ· φαν-
τασίαι δὲ εἰσὶ καὶ δόξαι πάντα ἀληθεῖ νόῳ καὶ λόγῳ. οὐκουν
τό, τε ἀληθῆ νοεῖν καὶ λέγειν, τοῦτο ἀλήθειαν δεῖ καλεῖν. Τί
δαί. Τὰ ὄντα δεῖ νοεῖν καὶ λέγειν· ἔστι δὲ οὐδὲν ἀληθὲς ἐπὶ
τῆς γῆς. Τοῦτο ἀληθές ἐστι τὸ μὴ εἰδέναι μηδὲν ἀληθές; Ἐν-
θάδε πῶς ἂν καὶ δύναιτο γενέσθαι, ὦ τέκνον. ἡ γὰρ ἀλήθεια τελεω-
τάτη ἀρετή ἐστιν, αὐτὸ τὸ ἀκρότατον ἀγαθὸν, τὸ μὴ ὑπὸ ὕλης
θολούμενον, μήτε ὑπὸ σώματος περιβαλλόμενον, γυμνὸν, φανὸν,
ἄτρεπτον, σεμνὸν, ἀναλλοίωτον, ἀγαθόν. τὰ δὲ ἐνθάδε, ὦ τέκνον,
οἷά ἐστιν ὁρᾶσθαι δεκτὰ τοῦδε τοῦ ἀγαθοῦ, φθαρτὰ, παθητὰ, δια-
λυτὰ, τρεπτὰ, ἀεὶ ἐναλλοιούμενα, ἄλλα ἐξ ἄλλων γινόμενα;
6 [6] Ἃ οὖν μήτε πρὸς ἑαυτὰ ἀληθῆ ἐστὶ, πῶς δύναιτο ἀλη-
θῆ εἶναι. πᾶν γὰρ τὸ ἀλλοιούμενον, ψεῦδός ἐστι, μὴ μένον ἐν ᾧ
ἐστί· φαντασίας δὲ μεταφερόμενον, ἄλλας καὶ ἄλλας ἐπιδείκνυ-
ται ἡμῖν. Οὐδὲ ἄνθρωπος ἀληθής ἐστιν, ὦ πάτερ; Καθότι
ἄνθρωπος, οὐκ ἔστιν ἀληθὴς, ὦ τέκνον. τὸ γὰρ ἀληθές ἐστι τὸ
ἐξ αὐτοῦ μόνου τὴν σύστασιν ἔχον, καὶ μένον καθ᾽ αὑτὸ, οἷόν ἐστιν·
ὁ ἄνθρωπος δὲ ἐκ πολλῶν συνέστηκε, καὶ οὐ μένει καθ᾽ αὑτόν·
τρέπεται δὲ καὶ μεταβάλλεται ἡλικίαν ἐξ ἡλικίας, καὶ ἰδέαν
ἐξ ἰδέας, καὶ ταῦτα ἔτι ὢν ἐν τῷ σκήνει. καὶ πολλοὶ τέκνα οὐκ
ἐγνώρισαν, χρόνου ὀλίγου μεταξὺ γενομένου, καὶ πάλιν τέκνα
γονεῖς ὁμοίως. τὸ οὖν οὕτως μεταβαλλόμενον ὥστε ἀγνοεῖσθαι,
δύναται ἀληθὲς εἶναι, ὦ Τάτ; οὔ, τοὐναντίον ψεῦδός ἐστιν, ἐν
7 ποικίλαις γινόμενον φαντασίαις τῶν μεταβολῶν. [7] Σὺ δὲ
νόει ἀληθές τι εἶναι, τὸ μένον καὶ δίκαιον· ὁ δὲ ἄνθρωπος οὐκ
ἔστιν ἀεί. ἄρα οὐδὲ ἀληθές ἐστι· φαντασία δέ ἐστί τις ἄνθρω-
πος· ἡ δὲ φαντασία, ψεῦδος ἂν εἴη ἀκρότατον. Οὐδὲ ταῦ-
τα οὖν, ὦ πάτερ, τὰ ἀΐδια σώματα, ἐπεὶ μεταβάλλεται, ἀ-
ληθῆ ἐστί. Πᾶν μὲν οὖν τὸ γεννητὸν καὶ μεταβλητὸν, οὐκ ἀ-
ληθὲς, ὑπὸ δὲ τοῦ προπάτορος γενόμενα τὴν ὕλην δύναται
ἀληθῆ ἐσχηκέναι· ἔχει δέ τι καὶ ταῦτα ψεῦδος ἐν τῇ μεταβο-
λῇ. οὐδὲν γὰρ μὴ μένον ἐφ᾽ αὑτῷ ἀληθές ἐστιν. Ἀληθὲς,
ὦ πάτερ; τί οὖν ἂν εἴποι τις μόνον τὸν ἥλιον παρὰ τὰ ἄλλα
πάντα μὴ μεταβαλλόμενον, μένοντα δὲ ἐφ᾽ ἑαυτῷ. Ἀλή-
θειαν· διὸ καὶ τὴν ἐν τῷ κόσμῳ πάντων δημιουργίαν αὐ-
τὸς μόνος πεπίστευται, ἄρχων πάντων, καὶ ποιῶν πάντα,

efficiẽti,quem veneror & veritatem eius adoro, & post vnum ac primum,hunc opificem agnosco. [8] Quæ erit ergo prima 8
veritas,o Pater? Vnus ac solus,o Tat,qui ex materia non est,nõ in corpore,non coloratur,non figuratur,non voluitur,nõ alius fit,semper existens.Mendacium autẽ,o fili,abrogatur.Hæc autem quæ in terra sunt, corruptio detinet ac circundat, ac veri prouisio circũuoluet. Nã absq; corruptione ne generatio quidem constare potest. Omnem etenim generationẽ corruptio sequitur, vt denuo fiat. Genita nãq; ex corruptis necesse fiunt. Et quæ fiunt corrumpi necessum est, ne eorum quæ sunt gene
ratio cesset. [9] Primum igitur operatorẽ in generationem eorũ, 9
quæ sunt,agnosce. Quæ vtiq; ex corruptione fiunt,mendacia sunt. Vt quæ nunc alia,quandoq; alia fiunt. Nã eadem fieri non possunt. Quod autẽ idem non est,quî verum erit? Imaginationes itaq; hæc dicere decet,o fili,siquidẽ hominem recte enunciamus, humanitatis imaginationẽ, ac puerum pueri imaginationem,adolescentem adolescentis imaginationem,virum viri imaginationẽ, senem senis imaginationem. Nã homo homo non est,neq; puer puer, nec adolescens adolescens, nec senex senex,neq; vir vir. Quæ enim mutantur mẽtiuntur, & quæ iam fuerũt,ac quæ sunt. Hæc proinde ita cognosce, o fili, velut has mendaces operationes e sublimi ab ipsa veritate deduci. Hoc ita se habente,mendacium dico veritatis opus esse.

MERCVRII AD TAT.

[10] Deum quidem cognoscere arduum,describere autem vltra 10
potentiã est. Incorporeum nãq; corpore exprimi non potest: nec perfectum ab imperfecto cõcipi, & æternum cum eo qui exigui est tẽporis cõuenire difficile. Illud enim semper est,hoc autem effluit: Illud veritate est,hoc autem imaginatione adumbratur. debilius a fortiore, & deterius a præstantiore tantum discrepat,quantum a diuino mortale. Media autẽ horum secretio, Pulchri speculationem obliterat. Oculis quidem corpora spectantur,lingua autem visibilia denunciantur. Incorporeum autem ac quod videri aut figurari non potest, & quod materia

ὃν καὶ σέβομαι, καὶ προσκυνῶ αὐτοῦ τὴν ἀλήθειαν, καὶ μετὰ τὸν
8 ἕνα καὶ πρῶτον, τοῦτον δημιουργὸν γνωρίζω. [8] Τί οὖν ἂν εἶ-
ναι λέγεις τὴν πρώτην ἀλήθειαν, ὦ πάτερ. Ἕνα καὶ μόνον,
ὦ Τάτ, τὸν μὴ ἐξ ὕλης, τὸν μὴ ἐν σώματι, τὸν ἀχρώματον, τὸν ἀσχη-
μάτιστον, τὸν ἄτρεπτον, τὸν μὴ ἀλλοιούμενον, τὸν ἀεὶ ὄντα· τὸ δὲ ψεῦ-
δος, ὦ τέκνον, φθείρεται. ταῦτα δὲ τὰ ἐπὶ γῆς φθορὰ κατέλα-
βε καὶ ἐμπεριέχει, καὶ ἐμπεριέξει ἡ τοῦ ἀληθοῦς πρόνοια. χωρὶς
γὰρ φθορᾶς, οὐδὲ γένεσις δύναται συστῆναι· πάσῃ δὲ γενέσει φθο-
ρὰ ἕπεται, ἵνα πάλιν γένηται. τὰ γὰρ γιγνόμενα, ἐκ τῶν φθειρομέ-
νων ἀνάγκη γίγνεσθαι· φθείρεσθαι δὲ τὰ γινόμενα ἀνάγκη, ἵνα μὴ στῇ
9 ἡ γένεσις τῶν ὄντων. [9] Πρῶτον οὖν τὸν δημιουργὸν γνώριζε εἰς
τὴν γένεσιν τῶν ὄντων. τὰ οὖν ἐκ φθορᾶς γινόμενα, ψευδῆ ἂν εἴη,
ὡς ποτὲ μὲν ἄλλα, ποτὲ δὲ ἄλλα γινόμενα. τὰ γὰρ αὐτὰ γίνεσθαι
ἀδύνατον· τὸ δὲ μὴ αὐτὸ, πῶς ἂν ἀληθὲς εἴη. φαντασίας οὖν κα-
λεῖν δεῖ ταῦτα, ὦ τέκνον, εἴ γε ὀρθῶς προσαγορεύομεν τὸν ἄν-
θρωπον, ἀνθρωπότητος φαντασίαν· τὸ δὲ παιδίον, παιδίου
φαντασίαν· τὸν δὲ νεανίσκον, νεανίσκου φαντασίαν· τὸν δὲ ἄνδρα,
ἀνδρὸς φαντασίαν· τὸν δὲ γέροντα, γέροντος φαντασίαν. οὔτε γὰρ
ὁ ἄνθρωπος, ἄνθρωπος· οὔτε τὸ παιδίον, παιδίον· οὔτε ὁ νεανί-
σκος, νεανίσκος· οὔτε ὁ γέρων, γέρων· οὔτε ὁ ἀνὴρ, ἀνήρ· μετα-
βαλλόμενα δὲ, ψεύδεται καὶ τὰ προόντα, καὶ τὰ ὄντα. Ταῦτα μέν-
τοι οὕτω νόει, ὦ τέκνον, ὡς καὶ τῶν ψευδῶν τούτων ἐνεργειῶν ἄνω-
θεν ἠρτημένων ἀπ' αὐτῆς τῆς ἀληθείας. τούτου δὲ οὕτως ἔχοντος,
τὸ ψεῦδός φημι τῆς ἀληθείας ἐνέργημα εἶναι.

ΕΡΜΟΥ ΠΡΟΣ ΤΑΤ.

10 [10] ΘΕΟΝ μὲν νοῆσαι χαλεπὸν, φράσαι δὲ ἀδύνατον. τὸ γὰρ
ἀσώματον σώματι σημῆναι ἀδύνατον, καὶ τὸ τέλειον τῷ ἀτελεῖ κατα-
λαβέσθαι οὐ δυνατὸν· καὶ τὸ ἀΐδιον τῷ ὀλιγοχρονίῳ συγγενέσθαι, δύσκο-
λον· τὸ μὲν γὰρ ἀεί ἐστι· τὸ δὲ παρέρχεται. καὶ τὸ μὲν ἀληθείᾳ ἐστί·
τὸ δὲ ὑπὸ φαντασίας σκιάζεται· τὸ δὲ ἀσθενέστερον τοῦ ἰσχυροτέ-
ρου, καὶ τὸ ἔλαττον τοῦ κρείττονος διέστηκε τοσοῦτον, ὅσον τὸ θνη-
τὸν τοῦ θείου. ἡ δὲ μέση τούτων διάστασις, ἀμαυροῖ τὴν τοῦ καλοῦ θέαν.
ὀφθαλμοῖς μὲν γὰρ τὰ σώματα θεατά· γλώττῃ δὲ τὰ ὁρατὰ λεκτά.
τὸ δὲ ἀσώματον καὶ ἀφανὲς καὶ ἀσχημάτιστον, καὶ μήτε ἐξ ὕλης

non conſtat,ſub noſtris ſenſibus relinqui nõ poteſt. Intelligo, o Tat,intelligo.quod exponi non poteſt,hoc Deus eſt.

MERCVRII.

11 De morte vero nunc tractandũ eſt. Vulgum enim mors terret,velut malum immenſum facti ignorantia. Mors enim diſſolutio eſt feſſi corporis. Completo namque compagum corporis numero, (cum numerus commiſſurarum corporis exiſtat) interit corpus , quando hominem vlterius ferre non poteſt. Hoc autem mors eſt,corporis quidem diſſolutio , & corporei ſenſus abrogatio. 11

EX SVIDA.

12 Mercurius Triſmegiſtus iſte fuit ſapiens Ægiptius. Floruit autem ante Pharaonem , nuncupatus vero Triſmegiſtus : quia de trinitate loquutus eſt dicens , in Trinitate vnam eſſe Deitatem,ſic. Erat lumen intelligibile ante lumen intelligibile : & erat ſemper mens a mente lucens:ac nihil aliud erat huius vnitas quam ſpiritus omnia circumplectens. Extra hoc non Deus, non Angelus,non eſſentia quæpiam alia. Omnium enim Dominus & Pater & Deus : & omnia ſub ipſo & in ipſo ſunt. Nã verbum eius abſolutiſſimum extat, & fœcundum ac opifex in fœcunda natura, filius exiſtens , & aqua fœcunda conceptum hominem fecit. Hæc quoque fatus , preces ſuſcepit dicens. Adiuro te , o Cœlum Dei magni ſapiens opus. Adiuro te , o Vox patris , quam primam effatus eſt , quando vniuerſum firmauit mundum. Adiuro te per vnigenitũ Verbum & Patrem, qui cuncta circumambit,propitius,propitius eſto. 12

ὑποκείμενον ὑπὸ τῆς ἡμετέρων αἰσθήσεων καταληφθῆναι οὐ δύναται. ἐννοοῦμαι, ὦ Τάτ, ἐννοοῦμαι ὃ ἐξειπεῖν οὐ δυνατόν, τοῦτό ἐστιν ὁ θεός.

ΕΡΜΟΥ.

11 ΠΕΡΙ δὲ τοῦ θανάτου νῦν λεκτέον. τοὺς γὰρ πολλοὺς ὁ θάνατος φοβεῖ, ὡς κακὸν μέγιστον, ἀγνοίᾳ τοῦ πράγματος. θάνατος γὰρ γίνεται διάλυσις καμόντος σώματος· καὶ γὰρ ἀριθμοῦ πληρωθέντος τῆς ἁρμῶν τοῦ σώματος· ἀριθμὸς γάρ ἐστιν, ἡ ἁρμογὴ τοῦ σώματος· ἀποθνήσκει τὸ σῶμα, ὅταν μηκέτι δύναται φέρειν τὸν ἄνθρωπον. καὶ τοῦτό ἐστι θάνατος, διάλυσις σώματος, καὶ ἀφανισμὸς αἰσθήσεως σωματικῆς.

ΕΚ ΤΟΥ ΣΟΥΙΔΑ.

12 Ἑρμῆς ὁ τρισμέγιστος. οὗτος ἦν αἰγύπτιος σοφός. ἤκμαζε δὲ πρὸ
τοῦ φαραώ. ἐκέκλητο δὲ τρισμέγιστος, διότι περὶ τριάδος ἐφθέγξατο
εἰπών, Εν τριάδι μίαν εἶναι θεότητα. οὕτως, ἦν φῶς νοερὸν πρὸ φωτὸς
νοεροῦ, καὶ ἦν ἀεὶ νοῦς νοὸς φωτεινὸς, καὶ οὐδὲν ἕτερον ἦν ἡ τούτου ἑνό-
της. † ἡ πνεῦμα πάντα περιέχον, ἐκτὸς τούτου οὐ θεὸς, οὐκ ἄγγελος, † καὶ
οὐκ οὐσία τίς ἄλλη. πάντων γὰρ κύριος, καὶ πατὴρ, καὶ θεὸς, καὶ πάντα ὑπ'
αὐτὸν καὶ ἐν αὐτῷ ἐστίν. ὁ γὰρ λόγος αὐτοῦ παντέλειος ὤν, καὶ γόνιμος,
καὶ δημιουργὸς ἐν γονίμῳ φύσει, παῖς ὤν, καὶ γονίμῳ ὕδατι ἔγκυον
† τὸν ἄνδρα ἐποίησε, καὶ ταῦτ' εἰρηκὼς, ηὔξατο λέγων. ὁρκίζω σε οὐρα- † τὸ ὕ-
νὲ, θεοῦ μεγάλου σοφὸν ἔργον. ὁρκίζω σε φωνὴ πατρὸς, ἣν ἐφθέγξατο δωρ
πρώτην, ἡνίκα τὸν πάντα κόσμον ἐστηρίξατο. ὁρκίζω σε κατὰ τοῦ μονο-
γενοῦς λόγου, καὶ τοῦ πατρὸς, περιέχοντος πάντα, ἵλεως. ἵλεως ἔσο.

ÆSCVLAPII AD AMMONEM REGEM, DEFINITIONES,

De Deo, *De materia,* *De fato,*
De Sole, *De intelligibili essentia,* *De Diuina essentia,*
De homine,
De administratione summæ septem stellarum,
De homine qui est secundum imaginem,

CAPVT DECIMVMSEXTVM.

SVblimem, o Rex, sermonem ad te misi, cæte- 1
rorum omnium veluti summã & monumen-
tum, non iuxta vulgi sententiam constructũ,
sed multã illis repugnantiam habẽtem. Tibi
nãq; apparebit quibusdam verbis meis disso-
nus. Mercurius namq; meus præceptor fre-
quenter mecum & priuatim & Tat interdum præsente disce-
ptans, aiebat. Videbitur enim meos libros legẽtib. apertissima
esse constructio ac euidens. E diuerso tamen obscura cum sit,
& dictionum intellectum latentẽ habeat: ac præterea obscu-
rissima, quod post hęc Græci nostrum idioma in propriũ trans-
ferre conẽtur. Quod quidem scriptorum maxima inuersio erit
ac obscuritas. [2] Dictio nãq; patria linguæ proprietate enun- 2
ciata, perspicuum verborum intellectũ habet. Ipsa etenim vo-
cis qualitas, & Ægiptiorum nominum potestas, in seipsa eorũ
quæ dicuntur efficaciam habet. Quantum itaq;, o Rex, tibi fas
est (nihil enim non potes) sermonẽ non interpretandum tuere:
vti ne talia in Græcos perueniant arcana, neq; Græcorũ dictio
arrogans & soluta, ac veluti fucata, id quod graue & forte est
obliteret, & efficacem nominum dictionem. [3] Nam Græci, 3
o Rex, dictiones vanas habent, ostẽtationum efficaces. Et hæc
est Gręcorum philosophia, dictionum fremitus. Nos equidem
non verbis coloramus, quinetiã maximis effectuum vocibus.
Idcirco sermonem hinc auspicabor, Deum omnium dominũ
factorẽ patrem ac septum implorans, ac omnia vnum existen-
tia, & vnum omnia existentem. Nam omnium plenitudo vnũ
est, & in vno. Nec vnius secũdum est, quinimo vtrumq; vnum

ΟΡΟΙ ΑΣΚΛΗΠΙΟΥ ΠΡΟΣ ΑΜΜΟΝΑ ΒΑΣΙΛΕΑ.

Περὶ θεοῦ, περὶ ὕλης, περὶ εἱμαρμένης,
περὶ ἡλίου, περὶ νοητῆς οὐσίας, περὶ θείας οὐσίας,
περὶ ἀνθρώπου,
περὶ οἰκονομίας τοῦ πληρώματος τῶν ἑπτὰ ἀστέρων,
περὶ τοῦ κατ᾽ εἰκόνα ἀνθρώπου.

1 ΜΕΓΑΝ σοι λόγον, ὦ βασιλεῦ διεπεμψάμην, πάντων τῶν ἄλλων ὥσπερ κορυφὴν καὶ ὑπόμνημα, οὐ κατὰ τὴν τῶν πολλῶν δόξαν συγκείμενον, ἔχοντα δὲ πολλὴν ἐκείνοις ἀντίδειξιν. φανήσεται γάρ σοι, καὶ τοῖς ἐμοῖς ἐνίοις λόγοις ἀντίφωνος. Ερμῆς μὲν γὰρ ὁ ἐμὸς διδάσκαλος πολλάκις μοι διαλεγόμενος, καὶ ἰδίᾳ, καὶ τοῦ Τὰτ ἐνίοτε παρόντος, ἔλεγεν, ὅτι δόξει τοῖς ἐντυγχάνουσί μου τοῖς βιβλίοις ἁπλουστάτη εἶναι ἡ σύνταξις καὶ σαφής. ἐκ δὲ τῶν ἐναντίων, ἀσαφὴς οὖσα, καὶ κεκρυμμένον τὸν νοῦν τῶν λόγων ἔχουσα· καὶ ἔτι ἀσαφεστάτη, τῶν ἑλλήνων ὕστερον βουληθέντων τὴν ἡμετέραν διάλεκτον, εἰς τὴν ἰδίαν μεθερμηνεῦσαι, ὅπερ ἔσται τῶν γεγραμμένων μεγίστη διαστρο-
2 φή τε, καὶ ἀσάφεια. 2 Ο δὲ λόγος τῇ πατρῴᾳ διαλέκτῳ ἑρμηνευόμενος, ἔχει σαφῆ τὸν τῶν λόγων νοῦν. καὶ γὰρ αὐτὸ τὸ τῆς φωνῆς ποιὸν καὶ ἡ τῶν αἰγυπτίων ὀνομάτων δύναμις, ἐν ἑαυτῇ ἔχει τὴν ἐνέργειαν τῶν λεγομένων. ὅσον οὖν δυνατόν ἐστί σοι βασιλεῦ, πάντα δὲ δύνασαι, τὸν λόγον διατήρησον ἀνερμήνευτον, ἵνα μήτε εἰς ἕλληνας ἔλθῃ τοιαῦτα μυστήρια, μήτε τῶν ἑλλήνων ὑπερήφανος φράσις καὶ ἐκλελυμένη, καὶ ὥσπερ κεκαλλωπισμένη, ἐξίτηλον ποιήσῃ τὸ σεμνὸν καὶ στιβαρὸν, καὶ τὴν ἐ-
3 νεργητικὴν τῶν ὀνομάτων φράσιν. 3 Ελληνες γάρ, ὦ βασιλεῦ, λόγους ἔχουσι † κενοὺς, ἀποδείξεων ἐνεργητικούς. καὶ αὕτη ἐστὶν ἑλλήνων φιλοσοφία, λόγων ψόφος· ἡμεῖς δὲ, οὐ λόγοις χρώμεθα, ἀλλὰ φωναῖς † μεγίσταις τῶν ἔργων. ἄρξομαι δὲ τοῦ λόγου ἔνθεν, τὸν θεὸν ἐπικαλεσάμενος τὸν τῶν ὅλων δεσπότην, καὶ ποιητὴν, καὶ πατέρα, καὶ περίβολον, καὶ πάντα ὄντα τὸν ἕνα, καὶ ἕνα ὄντα τὰ πάντα. τῶν πάντων γὰρ τὸ πλήρωμα, ἕν ἐστι, καὶ ἐν ἑνὶ, οὐ δευτεροῦντος τοῦ ἑνὸς, ἀλλ᾽ ἀμφοτέρων ἑνὸς

† καινούς.
† μεγίστας

existẽs.Et hanc,o Rex,mihi retine mentem,per totã hanc sermonis occupationẽ. 4 Nam si quispiã omne & vnum(quę idẽ 4
esse credũtur)ab vno seiungere moliatur,omnium denominationem ad multitudinem,nõ ad plenitudinem explicans,quod quidem nõ licet,omne ab vno dissoluens, id omne perdet. Nã omnia vnum esse decet:si quidẽ vnum est.Sũt vtiq;,& nunquã vnum esse desinunt,ne plenitudo dissoluatur. In terra plures aquarũ scaturigines intueri licet,ac ignis in medijs partib. salientes,ac in eo tres naturas cõspici,ignis,aquæ,& terrę,ab vna stirpe deductas.Quocirca vniuersę materiæ prõptuarium esse creditur,& sursum propriã suppeditationẽ prodit.E contra vero a sublimi substantiã accipit. 5 Sic etenim cœlũ & terrã agit ope- 5
rator:Sol inquã,essentiã quidem deorsum agens,materiã autẽ attollẽs, ac circa se & in se omnia rapiens,& a seipso cuncta tribuens,lumen omnib. affatim largitur. Nã ipse est,cuius bonæ efficaciæ,non tantum in cœlo & aere,verum & in terra ad infimum vsq; fundum ac abyssum penetrant. Quod si qua sit intelligibilis essentia,ipsa huius est moles,cuius receptaculũ lumen huius est. Vnde autẽ ipsa cõsistat,aut influat,solus ipse nouit,& loco & natura sibimet proximus existens,a nobis non videtur, coniecturis autẽ vrgentib.percipitur. 6 Huius autẽ speculatio 6
conijcientis nõ est:quin & ipse aspectus vniuersum orbem imminentẽ perspicue circũillustrat. Medius nãq; considens,mũdum corona cingit:& boni aurigę instar,omnẽ mundi currũ in seipsum firmat & alligat:ne temere feratur. Sunt autẽ habenæ, vita,anima,spiritus,immortalitas,&generatio.Laxat eum itaq; vt feratur non procul a seipso,quin(si verũ dicere licet)secum.
7 Et hac lege cuncta construit,immortalib. quidẽ perpetuam 7
permansionẽ impertitur, & superiori circumferentiæ quidpiã suæ lucis emittit,ad alterã partem,quæ Cœlũ aspicit,immortales mundi partes fouet.In eo autẽ quod omne continet & illuminat,in eo aquæ,terræ,& aeris capacitatẽ vita decorat,& generationẽ ac mutationes cõcitat: animalia quę has mundi partes degunt,cochleæ more variat, ac in mutua generum genera & specierum species transformat, ad se inuicem obsistente mutatione, velut ac in magnis corporibus construens efficit.

ὄντος. καὶ τοῦτόν μοι τὸν νοῦν διατήρησον, ὦ βασιλεῦ, παρ' ὅλην τὴν
4 τοῦ λόγου πραγματείαν. 4 Ἐὰν γάρ τις ἐπιχειρήσῃ τὸ πᾶν καὶ
ἓν δοκοῦν τε καὶ ταὐτὸν εἶναι τοῦ ἑνὸς χωρίσαι, ἐκδεξάμενος τὴν τῶν
πάντων προσηγορίαν ἐπὶ πλήθους, οὐκ ἐπὶ πληρώματος, ὅπερ ἐστὶν
ἀδύνατον, τὸ πᾶν τοῦ ἑνὸς λύσας, ἀπολέσει τὸ πᾶν. πάντα γὰρ ἓν εἶ-
ναι δεῖ, εἴ γε ἕν ἐστιν· ἔστι δέ, καὶ οὐδέποτε παύεται ἓν ὄντα, ἵνα μὴ
τὸ πλήρωμα λυθῇ. ἴδοις ἂν ἐπὶ τῇ γῇ πολλὰς πηγὰς ὑδάτων,
καὶ πυρὸς ἀναβρυούσας ἐν τοῖς μεσαιτάτοις μέρεσι· καὶ ἐν τῷ αὐ-
τῷ τὰς τρεῖς φύσεις ὁρωμένας, πυρὸς, καὶ ὕδατος, καὶ γῆς, ἐκ
μιᾶς ῥίζης ἠρτημένας. ὅθεν καὶ πάσης ὕλης πεπίστευται εἶναι τα-
μεῖον. καὶ ἀναδίδωσι μὲν αὐτῆς τὴν χορηγίαν· ἀνταπολαμβάνει
5 δὲ τὴν ἄνωθεν ὕπαρξιν. 5 Οὕτω γὰρ οὐρανὸν καὶ γῆν † ἄγει ὁ δη- † ἀεὶ
μιουργὸς, λέγω δὴ ὁ ἥλιος, τὴν μὲν οὐσίαν κατάγων· τὴν δὲ ὕλην
ἀνάγων, καὶ περὶ αὐτὸν καὶ εἰς αὐτὸν τὰ πάντα ἕλκων, καὶ ἀπὸ
ἑαυτοῦ πάντα διδοὺς, πᾶσι καὶ τὸ φῶς ἄφθονον χαρίζεται. αὐτὸς
γάρ ἐστιν, οὗ ἀγαθαὶ ἐνέργειαι, οὐ μόνον ἐν οὐρανῷ καὶ ἀέρι, ἀλλὰ
καὶ ἐπὶ γῆς, εἰς τὸν κατώτατον βυθὸν καὶ ἄβυσσον διήκουσιν. εἰ δέ
τις ἐστὶ καὶ νοητὴ οὐσία, αὕτη ἐστὶν ὁ τούτου ὄγκος, ἧς ὑποδοχὴ ἂν
εἴη τὸ τούτου φῶς. πόθεν δὲ αὕτη συνίσταται ἢ ἐπιρρεῖ, αὐτὸς μόνος
οἶδεν· ἢ καὶ τῷ τόπῳ καὶ τῇ φύσει ἐγγὺς ὢν ἑαυτοῦ, μὴ ὑφ' ἡμῶν ὁ-
6 ρώμενος, στοχασμῶν δὲ βιαζομένων νοεῖ. 6 Ἡ δὲ τούτου θέα, οὐκ
ἔστι στοχάζοντος, ἀλλ' αὐτὴ ἡ ὄψις λαμπρότατα περιλάμπει πάντα
τὸν κόσμον τὸν ὑπερκείμενον. μέσος γὰρ ἵδρυται στεφανηφορῶν τὸν κόσ-
μον· καὶ καθάπερ ἡνίοχος ἀγαθὸς τὸ τοῦ κόσμου ἅρμα ἀσφαλισάμε-
νος καὶ ἀναδήσας εἰς ἑαυτὸν, μή πως ἀτάκτως φέροιτο. εἰσὶ δὲ αἱ ἡ-
νίαι, ζωὴ, καὶ ψυχὴ, καὶ πνεῦμα, καὶ ἀθανασία, καὶ γένεσις. ἀφῆκεν οὖν
φέρεσθαι, οὐ πόῤῥωθεν ἑαυτοῦ. ἀλλ' εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, σὺν ἑαυτῷ.
7 7 Καὶ τοῦτον τὸν τρόπον δημιουργεῖ τὰ ἅπαντα. τοῖς μὲν ἀθανάτοις
τὴν ἀΐδιον διαμονὴν ἀπονέμων· καὶ τῇ ἄνω περιφερείᾳ τῇ τοῦ φωτὸς
ἑαυτοῦ ὅσον ἀναπέμπει ἐκ τοῦ θατέρου μέρους τοῦ πρὸς οὐρανὸν βλέ-
ποντος, τὰ ἀθάνατα μέρη τοῦ κόσμου τρέφοντος· τῷ δὲ καταλαμβα-
νομένῳ καὶ περιλάμποντι τὸ πᾶν, ὕδατος, καὶ γῆς, καὶ ἀέρος, κύτος
ζωοποιῶν· καὶ ἀνακινῶν γένεσιν· καὶ μεταβολάς. τὰ ἐν τούτοις τοῖς μέρε-
σι τοῦ κόσμου ζῷα, ἕλικος τρόπον μεταποιῶν καὶ μεταμορφῶν εἰς ἄλ-
ληλα γένη γενῶν· καὶ εἴδη εἰδῶν, ἀντιταασομένης τῆς εἰς ἄλληλα μετα-
βολῆς, καθάπερ καὶ ἐπὶ τῶν μεγάλων σωμάτων ποιεῖ δημιουργῶν.

[8] Omnis etenim corporis perſeuerantia mutatio eſt,immorta- 8
lis quidē diſſolutionis expers,mortalis vero diſſolutioni obno-
xia.Et hæc eſt immortalis a mortali diſtinctio,ſiue mortalis ab
immortali.Nã veluti lux ipſius freques eſt, haud ſecus vitæ ge-
nitura ipſius, loco & ſuppeditãdi copia frequens ac citra diſſo-
lutionem eſt. Etenim circa ipſum quamplures ſunt geniorum
cœtus,varijs copijs conferendi,ac familiares,nō procul ab im-
mortalib. exiſtentes, hinc autē regionem horum ſortiētes,hu-
manis ephoros agunt. Quæ autē a Dijs iubentur, exequi per-
gunt,turbinibus,procellis,preſteribus,ignis mutationibus,ter-
ræ concuſſionibus,inſuper eſurie,& bellis, impietatē vlciſcen-
tes.Ea nãq; eſt hominum in Deos maxima prauitas.Nimirum
Deorum eſt bona cōferre:hominum autē pios eſſe: Dæmonũ
vero vltionē ſumere. [9] Quæ enim ab hominib.temere fiunt,ſi- 9
ue errore,ſiue cōfidentia,aut neceſſitate,quã fatum nuncupãt,
aut ignorantia,cuncta hæc corã Dijs noxa ſoluuntur.Vnica au-
tem impietas iudicato ſubditur.Sol autē eſt omnis generis cō-
ſeruator ac educator.Et mundi intelligibilis inſtar ſenſilē mun
dum amplectens,ipſum varijs & formarum omnium ideis am-
plificans explet:haud ſecus Sol oĩa in mundo circumambiens,
omnium generationes amplificat & fortificat: quæ mortuorũ
autē & fluxorum ſunt,clam excipit. Sub hoc enim applicatur
Dæmonum chorus, quinetiam chori,permulti nãq; ſunt iſti ac
varij, ſub aſtrorum cuſpides ordinati, cuilibet horum numero
æquales. [10] Vnicuiq; igitur ſtellarũ præceptum exequi parãt, 10
boni ac mali exiſtentes naturis, id eſt effectibus. Dæmonis ni-
mirum eſſentia efficacia eſt. Sunt itē ipſorum nōnulli ex bono
ac malo tēperati,hi omnes terrenarum rerum facultatē adepti
ſunt: & rerũ terreſtrium tumultuationē ac variã diſcordiam in
cōmune cient vrbib.ac nationibus, & priuatim ſingulis. Effin-
gunt in animabus noſtris,ac ſurſum ad ſeipſos eas excitant,no-
ſtris neruis,medullis, venis,arterijs,ipſiq; cerebro inſidētes, ac
ad viſcera vſq; peruenientes. [11] Vnumqueq; etenim noſtrum 11
genitum ac animatũ,excipiunt Dæmones illi,qui per honorē
geniturę noſtræ ſubſeruiunt,& qui vnicuiq; ſtellarum applicati
ſunt.hi nãq; in inſtanti variantur,non ijdem perſeuerantes, ſed

8 [8] Παντὸς γὰρ σώματος διαμονὴ, μεταβολή. καὶ τοῦ μὲν ἀθα-
νάτου, ἀδιάλυτος· τοῦ δὲ θνητοῦ, μετὰ διαλύσεως. καὶ αὕτη ἡ δια-
φορά ἐστι τοῦ ἀθανάτου πρὸς τὸ θνητὸν, καὶ ἡ τοῦ θνητοῦ πρὸς τὸ
ἀθάνατον. ὥσπερ δὲ τὸ φῶς αὐτοῦ πυκνὸν, οὕτω καὶ ἡ ζωογονία αὐτοῦ,
πυκνή τις καὶ ἀδιάλυτος τῷ τόπῳ καὶ τῇ χορηγίᾳ. καὶ γὰρ δαιμόνων
χοροὶ περὶ αὐτὸν πολλοὶ, καὶ ποικίλαις στρατείαις ἐοικότες οἱ σύνοι-
κοι. καὶ τῶν ἀθανάτων οὐκ εἰσὶ πόρρω· ἔνθεν δὲ λαχόντες τὴν τού-
των χώραν, τὰ τῶν ἀνθρώπων ἐφορῶσι· τὰ δὲ ὑπὸ τῶν θεῶν ἐπι-
ταττόμενα, ἐνεργοῦσι θυέλλαις, καὶ καταιγίσι, καὶ πρηστῆρσι, καὶ
μεταβολαῖς πυρὸς, καὶ σεισμοῖς. ἔτι δὲ λιμοῖς καὶ πολέμοις ἀμυ-
νόμενοι τὴν ἀσέβειαν. αὕτη γὰρ ἀνθρώποις, εἰς θεοὺς ἡ μεγίστη
κακία. θεῶν μὲν γὰρ, τὸ εὖ ποιεῖν, ἀνθρώπων δὲ, τὸ εὐσεβεῖν· δαι-
9 μόνων δὲ, τὸ ἐπαμύνειν. [9] Τὰ γὰρ ὑπ' ἀνθρώπων τολμώμε-
να, ἢ πλάνῃ, ἢ τόλμῃ, ἢ ἀνάγκῃ, ἣν καλοῦσιν εἱμαρμένην, ἢ ἀ-
γνοίᾳ, ταῦτα πάντα παρὰ θεοῖς ἀνεύθυνα· μόνη δὲ ἡ ἀσέβεια,
δίκῃ ὑποπέπτωκε. σωτὴρ δὲ καὶ τροφεύς ἐστι παντὸς γένους, ὁ
ἥλιος· καὶ ὥσπερ ὁ νοητὸς κόσμος, τὸν αἰσθητικὸν κόσμον περιέ-
χων, πληροῖ αὐτὸν ὀγκῶν ταῖς ποικίλαις καὶ παντομόρφοις ἰ-
δέαις· οὕτω καὶ ὁ ἥλιος, πάντα ἐν τῷ κόσμῳ περιέχων, ὀγκοῖ
πάντων τὰς γενέσεις, καὶ ἰσχυροποιεῖ· καμόντων δὲ καὶ ῥευσάντων,
ὑποδέχεται. ὑπὸ τούτῳ δὲ ἐτάγη ὁ τῶν δαιμόνων χορός· μᾶλ-
λον δὲ χοροί· πολλοὶ γὰρ οὗτοι καὶ ποικίλοι· ὑπὸ τὰς τῶν ἀστέ-
10 ρων πλινθίδας τεταγμένοι ἑκάστῳ τούτων ἰσάριθμοι. [10] Δια-
τεταγμένον οὖν ὑπηρετοῦσιν ἑκάστῳ τῶν ἀστέρων, ἀγαθοὶ καὶ κα-
κοὶ ὄντες τὰς φύσεις, τουτέστι τὰς ἐνεργείας. δαίμονος γὰρ οὐσία,
ἐνέργεια. εἰσὶ δέ τινες αὐτῶν κεκραμένοι ἐξ ἀγαθοῦ καὶ κακοῦ. οὗ-
τοι πάντες τῶν ἐπὶ γῆς πραγμάτων τὴν ἐξουσίαν κεκληρωμέ-
νοι εἰσὶ, καὶ τῶν ἐπὶ γῆς θορύβων, καὶ ποικίλην ταραχὴν ἐργά-
ζονται, καὶ κοινῇ ταῖς πόλεσι καὶ τοῖς ἔθνεσι, καὶ ἰδίᾳ ἑκάστῳ. ἀνα-
πλάττονται γὰρ καὶ ἀνεγείρουσι τὰς ψυχὰς ἡμῶν εἰς αὐτοὺς, ἐγ-
καθήμενοι ἡμῶν νεύροις, καὶ μυελοῖς, καὶ φλεψὶ, καὶ ἀρτηρίαις, καὶ
αὐτῷ τῷ ἐγκεφάλῳ, διήκοντες μέχρι καὶ αὐτῶν τῶν σπλάγχνων.
11 [11] Γενόμενον γὰρ ἡμῶν ἕκαστον, καὶ ψυχωθέντα, παραλαμβά-
νουσι δαίμονες, οἱ κατ' ἐκείνην τὴν τιμὴν τῆς γενέσεως ὑπηρέ-
ται, οἳ ἐτάγησαν ἐν ἑκάστῳ τῶν ἀστέρων. οὗτοι γὰρ κατὰ στιγμὴν
ἐναλλάσσονται, οὐχ οἱ αὐτοὶ ἐπιμένοντες, ἀλλ' ἀνακυκλούμενοι.

repetitioni obnoxij. Iſti vtiq; binas animæ partes ſubeũtes per corpus ipſam ſinguli ad proprium effectum verſant. Pars attamen animæ rationis cōpos geniorum imperij expers eſt, Dei excipiendi idonea. Ei itaque cui per Solem radius, rationalem partem illuſtrat, hi quidem omnes pauci ſunt, & horum abrogantur Dæmones. Nullus etenim Dæmonum aut Deorum in vnicum Dei radium quicquam poteſt. [12] Cæteri autē cuncti, 12
per animas & corpora a Demonibus aguntur & feruntur, eorum effectus obſeruantes & diligentes. Ratio namque eſt non amor quæ decipit & fallitur. Terrenam igitur hāc diſpenſationem omnem regunt, hancq; per noſtrorum corporum inſtrumenta. Eam vero diſpoſitionem Mercurius fatum denominauit. A Deo igitur intelligibilis mundus dependet, ſenſibilis vero ab intelligibili, Sol autē per intelligibilem ac ſenſilem mundum influxum a Deo ſubminiſtrat Boni, quod eſt operationis.
[13] Porro circa Solem octo ſunt globi, ab eo pendentes: non- 13
vagantium vnus, ſex autē vagantium, & circa terram vnus. Ab his autem globis Dæmones dependent, a Dæmonibus vero homines: ac ita omnia & omnes a Deo pendent. Quocirca omnium quidem pater Deus eſt, Opifex Sol, & mundus ſtructuræ inſtrumentum. Regit autem intelligibilis eſſentia cœlum, Cœlũ vero Deos, Dæmones vtique Dijs obnoxij regunt homines. Hæc eſt Deorum ac Dæmonum expeditio. Hæc autē Deus per hæc ſibi efficit, ac omnia Dei partes exiſtunt. Si quidem cuncta partes ſint, omnia itaq; Deus. Cuncta proinde efficiens, ſeipſum efficit, nec vnquam quieuerit. nam & ipſe irrequietus eſt. Et quemadmodum Deus finem non habet: ita nec ipſius factio initium aut finem habet.

FINIS.

οὗτοι οὖν εἰς τὰ δύο μέρη τῆς ψυχῆς δύντες διὰ τοῦ σώματος, στροβοῦσιν
αὐτὴν ἕκαστος πρὸς τὴν ἰδίαν ἐνέργειαν· τὸ δὲ λογικὸν μέρος τῆς ψυ-
χῆς ἀδέσποτον τῶν δαιμόνων ἕστηκεν, ἐπιτήδειον εἰς ὑποδοχὴν τοῦ θεοῦ.
τῷ οὖν ἐν τῷ λογικῷ ἀκτὶς ἐπιλάμπει διὰ τοῦ ἡλίου· οὗτοι δὲ πάν-
τες ὀλίγοι εἰσί· τούτων καταργοῦνται οἱ δαίμονες. οὐδεὶς γὰρ οὐδὲν
δύναται, οὔτε δαιμόνων, οὔτε θεῶν, πρὸς μίαν ἀκτῖνα τοῦ θεοῦ.

12 [12] Οἱ δὲ ἄλλοι πάντες ἄγονται καὶ φέρονται, καὶ τὰς ψυχὰς καὶ τὰ σώ-
ματα ὑπὸ τῶν δαιμόνων, ἀγαπῶντες καὶ στέργοντες τὰς ἐκείνων ἐνεργείας.
καὶ ὁ λόγος, οὐκ ἔρως ἐστὶν ὁ πλανώμενος καὶ πλανῶν. τὴν οὖν ἐπίγειον
διοίκησιν ταύτην πᾶσαν διοικοῦσι, καὶ δι' ὀργάνων τῶν ἡμετέρων σω-
μάτων. ταύτην δὲ τὴν διοίκησιν Ἑρμῆς εἱμαρμένην ἐκάλεσεν. ἤρτη-
ται οὖν ὁ νοητὸς κόσμος τοῦ θεοῦ· ὁ δὲ αἰσθητὸς, τοῦ νοητοῦ. ὁ δὲ ἥλιος
διὰ τοῦ νοητοῦ καὶ αἰσθητοῦ κόσμου, τὴν ἐπιρροὴν ἀπὸ τοῦ θεοῦ χορηγεῖ-
13 ται τοῦ ἀγαθοῦ, τουτέστι τῆς δημιουργίας. [13] Περὶ δὲ τὸν ἥλιον, αἱ
ὀκτώ εἰσι σφαῖραι, τούτου ἠρτημέναι ἥ τε τῶν ἀπλανῶν, καὶ ἓξ τῶν πλα-
νωμένων, καὶ ἡ μία περίγειος· τούτων δὲ τῶν σφαιρῶν ἤρτηνται οἱ δαί-
μονες· τῶν δὲ δαιμόνων, οἱ ἄνθρωποι. καὶ οὕτω πάντα τε καὶ πάντες ἀπὸ
τοῦ θεοῦ εἰσὶν ἠρτημένοι. διὸ πατὴρ μὲν πάντων ὁ θεός· δημιουργὸς
δὲ, ὁ ἥλιος· ὁ δὲ κόσμος, ὄργανον τῆς δημιουργίας· καὶ οὐρανὸν μὲν ἡ
νοητὴ οὐσία διοικεῖ· οὐρανὸς δὲ θεούς· δαίμονες δὲ θεοῖς ὑποτετα-
γμένοι, ἀνθρώπους διοικοῦσιν. αὕτη ἡ θεῶν καὶ δαιμόνων στρατιά· τά-
δε ὁ θεὸς ποιεῖ διὰ τούτων ἑαυτῷ, καὶ μόρια τοῦ θεοῦ πάντα ἐστίν· εἰ
δὲ πάντα μόρια, πάντα ἄρα ὁ θεός. πάντα οὖν ποιῶν, ἑαυτὸν ποιεῖ,
καὶ οὐκ ἄν ποτε παύσαιτο· ἐπεὶ καὶ αὐτὸς ἄπαυστος. καὶ ὥσπερ ὁ θεὸς
οὐ τέλος ἔχει, οὕτως οὐδὲ ἡ ποίησις αὐτοῦ ἀρχὴν ἢ τέλος ἔχει.

ΤΕΛΟΣ.

ΑΙ ΔΙΑΦΟΡΟΙ ΓΡΑΦΑΙ.

*Cap.*1.*sec.*14.*li.*4.ἰδὼν ἀκόρ.ibid.*li.*9.καὶ ἐκύησε.*sec.*15.*li.*6.τὰ γεννητὰ πάχ. *Cap.*4.*sec.*6.*li.*11.τὸ δὲ ὕστερον ἔλατ. *Cap.*7.*sec.*3.*li.*4. δοκοῦντα καὶ μὴ νομιζό. *Cap.*9.*sec.*5.*li.*9.ἄφορα. *Cap.*10.*sec.*5.*li.*9. καταρτία πασῶν.*sec.*7.*l.*11.ὁ δὲ τῶν ἀφανῶν.*sec.*11.*li.*9.ἐν ᾗ τὸ πλέον. ibid.*li.*10.ὥσπερ οὖν τὸ πᾶν.*sec.*18.*li.*2.ἐνδύεται χιτ. *sec.*25.*lin.*2. καταλιπών. *Cap.*11.*sec.*6.*li.*3.ἔν τινι ποιῶν.*sec.*7.*li.*6.ἄρχων καὶ ἡγεμὼν τῶν.*sec.*9.*li.*5.καὶ ἐρῶσι.*sec.*19.*li.*2.εἰς ἣν δὲ καὶ πορευθ.ibid.*li.*8. ἀναβήσεται.*sec.*20.*li.*5.ὅμοιον τῷ ὁμοίῳ ibid.*l.*15.νοήσεις. *Ca.* 12. *sec.* 3.*li.*5.αὐτὴν τῆς ἡδονῆς.ibid.*li.*7.ἀξιότης.ἔπειτα.*sec.*4.*li.*3.ταῖς ἐπιθυμίαις *sec.*5.*li.*7.τὸ καλὸν.*sec.*9.*li.*2.ἣν ἐπείθου μοι.*sec.* 12.*li.*3. ἔθνη τῶν ζώων.*sec.*13.*li.*4.ἑκάστου γένους ζώου φονή ἐστι καλή. *Cap.* 13.*sec.*9.*li.*1.τὴν χωροῦσαν ἐπί τὴν ἐγκράτειαν,ἧς δύναμις.*sec.* 12. *li.*4.ἀδιόριστοι.*sec.*17.*li.*8.καὶ κτίσιν. *Cap.*16.*sec.*4.*li.*1. τῷ πάντα καὶ ἐν δοκοῦντι.ibid.*li.*4.ἀπολέσεις.*sec.*7.*li.*1. δημιουργεῖται ἅπαντα.

ERRATA.

*Cap.*1.*sect.*1.*linea*,1.μοί ποτε.*sec*,3.*li.*3.ἐμοὶ.*sec.*6.*li.*2.καὶ.*sec.*16. *li.*5.ἁρμονίας.*sect.*25.*li.*18.καὶ τίνι. *Cap.* 2.*sec.*2.*li.*3. κινεῖται.*initio pag.C* 2.*scribe* 7.& Τὸν.*sect.*7.*li.*9.οὐδὲ.*sect.*7.*li.* 10.γινόμενα. *Cap.*3.*sec.*1.*li.*6.ἄπειρον.*sec.*3.*li.*2.αὐτῷ. *Cap.*4.*sec.*5.*li.*10.σωματικῶν.*sec.*6.*in margine scrib.*6.*sec.*9.*li.*10.ὑστέρημα. *Cap.* 5.*sect.*1. *li.*5.*post* τῶν *pone*, .*sec.*7.*li.*14.*post* αὐτός *scribe*, .*Cap.* 6.*sec.* 3.*li.*1. τὸ.ibid. *li.* 2.γαθὸν & τὸ. *Cap.*8.*sec.*4.*li.*6.τοῦτέστι. *Cap.*9.*sect.* 3.*lin.* 4. τῆς.*sect.* 10. *lin.* 6.ὑπὸ. *Cap.* 10.*sect.* 4.*li.* 9. ἐπεισροὴν.idid.*li.*10.γάρ ἐστιν.*sec.*7.*li.*11.ὁ δὲ τῶν.*sec.*17.*in margine scrib.* 17.*sect.*18.*li.*2.ἴδιον.*sec.*18.*li.*11.ἀνθρώπινος.*sec.*22.*li.*9.ἐνέργειαι. *Cap.*12.*sec.*6.*li.*5.εὐεργετικὸς.*sec.*15.*li.*6.πατρὸς.*sec.*17.*in margi.* 17.*sec.*18.*li.*5.φθαρτὸν.*sec.*21.*li.*9.ἐστι.*sec.*23. *li.* 7.μὴ. *Cap.* 13. *sec.*1.*li.*8.ἀγνοῶ.*sec.*2.*li.*2.ἀληθινὸν.*sec.*4.*li.*5.ἐμαυτὸν.*sec.*15.*li.*2. τῶν. *Cap.*15.*sec.*4.*li.*1.οὖν.*sec.*12.*li.*5.*post* της *pone*, ibid.*lin. ultima* ἵλεως *sine puncto*.

Errata paginarum latinarum.

Capite 1, sectione 5, linea 2, lege exiluit.li. 3, leuis.7, videretur.26,5 sanctus es. Ca.2, 6,6,multum errorem.7,12,rursus,ea.3,3,7,iudicium. 4,4,5, natum es 4,8, 3,vero à nobis.6,2,7,genita:nam. 5,10,vsque ad 13,verba pluralia fiant singularia. Titulo 8. cap. INTERITVS. 7,3,1,tectus es.9,1,7,diuidi:6,4,præditum.7,3,igne:omnia. 9, 12,sunt,Dei.10,1, 6,efficaciam. 1,10,efficaciam.11,5,6,nequicquam.12,11,11,vtrũ libet,17,7,gignit:non.18,1,scito o fili). 21,8,existunt:13,2,3, fili. Miror.3,4,genere: 5,3,cogis:a.5,6,diminutionem.9,4,depulit.14,1,8,occultius.

INDEX SENTENTIARVM HOC PIMANDRA CONTENTARVM.

Primus numerus indicat caput, ſecundus ſectionem.

D

E

F

corpo-

Q

R

S

T

V

FINIS.

EXCVDEBAT SIMON MILLANGIVS BVRDEGALENSIVM TYPOGRAPHVS BVRDEGALAE ANNO SALVTIS HVMANAE 1574.